Rostocker Dokumentenserver
Dieses Werk wurde Ihnen durch die Universitätsbibliothek Rostock zum Download bereitgestellt.
Für Fragen und Hinweise wenden Sie sich bitte an: digibib.ub@uni-rostock.de

Dio Chrysostomus

DINOS || TU CHRYSOSTO=||MU PERI BASILEIAS || logoi tessares. ||(LIBYKOS MYTHOS. ||)

Rostock: Möllemann, Stephan, 1584

http://purl.uni-rostock.de/rosdok/ppn1758116536

Druck Freier Zugang PUBLIC DOMAIN



Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1758116536/phys_0001

22. c 6.

Cc- 4447.

C. H. c. 3330.

Universitäts Bibliothek Rostock

http://purl.uni-rostock.de
/rosdok/ppn1758116536/phys_0002

298

ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟ-ΜΟΥ ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ

Henrico λόγοι τέσσαρες. Brucaeo philosopho et medico cl.mo Joan. Caselius.

Ὀρθίῳ
ἀθηνᾶς
νόμῳ.



274

ROSTOCHII
Typis Stephani Myliandri.
ANNO
CIↃ. IↃ. XXCIV.

Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1758116536/phys_0005



Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1758116536/phys_0006

OTHONI AB HOIM
S. D.
IOANNES CASELIVS.

Sæpenumero iucundè recordor primæ notitiæ, natæ inter nos ex communibus litterarum studijs, bono, vt semper prædicaui, meo. Neq; tu oblitus es. vt ad vos in Etruriam venerim, vestra consuetudine vsus fuerim. Tres tum operam dabatis Petro Victorio, iuuenes adprimè nobiles: Schuleburgius per epistolam me inuitarat: quod inter nos familiaritas fuerat ab vltima vsq; adolescentia: idemq; priuatim mecum multa de litteris, non intellecta, nec audita prius, siue ego non animaduerteram, siue non satis diserte ab alijs fueram eruditus: Rotermundio autem mecum agenti docto sermone, manus statim dedi: sed tuo exemplo, multo adolescentioris, mouebar mirificè. Ita vobis auctoribus cæpi rectè sentire de litteris, rectè eas colere, cum antè, quid ipsæ promitterent, non satis intellexissem: quod profecto etiam hodie pauci intelligunt, ex ijs quoq;, qui se duces ad arcem sapientiæ profitentur. Cui vestrum plus debeam, non video: singulis equidem debeo hoc no-

minimè plurimum: nominibus etiam alijs multum. Nam ex eo tempore quis vestrum mihi amicior fuerit, non facilè affirmarim. Quo enim in me animo essetis; verbis, rebus, abundè testatum feciſtis. Ipse dedi contrà operam, ne ingratus videri possem. Cum enim essem gratus, criminis suspicionem remouere non erat difficile: neq; dum etiam hoc aliter mihi videtur, cum ad arculam meam respicio, non in qua aurum condo, sed ex qua aliquid bonæ elegantisq; doctrinæ depromo. Illam enim nullam habeo, neq; desidero: hac me Musæ, quibus diuturnam & fidelem seruitutem seruijssem, donarunt, non solum minimè inani, sed pleniore, quo plus inde depromitur. Nunc vero etsi tale quiddam à me sumere vobis non opus est: at mihi necesse est siue dare siue ostendere, quod non aspernaturi sitis. Neq; enim vel opulenti amici tenuiorum munuscula adspernantur, sed hæc vt ipsos amant. Sed ad te redeo, cuius vt alia erga me merita prædicarem, non erat alienum: sed hoc ad te fieri non pateris: vt faciam ad alios, non erit graue. Vnum prætereire non possum, quod paucis abhinc annis constituere istic res meas, summo studio conatus fuisti: exitu quoq; secundo, si ab auctoritate ducis nostri discedere, mihi fuisset integrum. Perspiciebas enim promptitudinem voluntatis meæ: patriæ seruirem, in patria viuerem, honesto loco, proposito præmio, com-

commodo meorum: quod nemini non ab omni parte optabile, nec iniuria, videatur: nec id solum honestum, sed officij est, nisi quod grauius obstet. Debeo igitur ea de caussa tibi sanè plurimum: etiam vero gratias egi & coram & per litteras: animi signum memoris fortè nullum aliud edidi: quod tamen non omittendum in perpetuum existimaui. Hoc cogitanti mihi modo de editione librorum Dionis de regno in mentem venit. Itaq; eos apparere in tuo nomine, & tuo auspicio à pluribus legi volui. Scriptor imprimis disertus est, & succo veteris sapientiæ imbutus: argumentum te dignum, homine doctißimo, & versato iam annos quamplures in ciuilibus negotijs. Vtinam his præceptis, prorsus, vt res indicat, aureis, principum filij eruditantur: vtinam hæc didicerint, discantúe, quibus principum filios educandi cura committitur, aut reges studijs sapientiæ præclarè eruditos & vsu rerum præditos præficiant suis liberis. Non meliore neq; diuersa ratione salutem patriæ ad posteritatem procurari & constitui posse, nobis in dubium venire non potest. Manet enim decretum Platonis, verius, ac si ex Apollinis tripode fuisset editum: TVM DEMVM BEATAS FORE: nosti cetera. Sed hæc quantumuis vera, quantumuis recta, optare de multis, sperare de paucis possumus: spei aliquid est, donec non desperatum est de

omnibus: quam spem foui, foueoq; etiam hodie, quibus modis fieri posse arbitror. Nam vel principum filios, ad quos aditus mihi patuit, fui sæpe cohortatus; vel horum moderatores, qui inani sapientiæ persuasione vera non fastidirent, monui aut confirmaui, vel sapientum sententias è tenebris diligenti mea opera erutas, in publicum proposui, veluti certum Polycleti canona, vel ipse, quæ ad rem facere & quomodo putarem, scribendo persecutus fui. Operam omnem me non lusiße velim, & auguror, &, quoniam id docere mihi posse videor, gaudeo. Quin si parum hactenus, aut si nihil proficiam; tamen operam præclarè posuerim, qua vel olim patriæ & generi mortalium profuturus videar: maximè cum id fiat à me, vt est apud veterem comicum, προῖκα γυναίως. Etenim, οὐδέ τί μοι πρέκειται: vt gloriabatur filius Thetidis: vbi periculum ipsius maius, res tanti non erat. Laboremus, vt ruinas fulciamus: nec vniuersa occupet barbaries: cuius fœdam faciem animo contemplari licet respicientibus ad tyrannidem Mosci & Turcæ: ubi serua omnia, litteræ nullæ: veri boni nihilum, omnes contrà species mali. Tu, quæ consilio & re à te præstari possunt, eorum nihil prætermittis: ego facio, quæ dixi. Vale. Rostochio.

VII. Kal. Xbris. Anno CIↃ. IↃ.

XXCIII.

ΔΙΩΝΟΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΒΑσιλείας λόγος πρῶτος.

Ῥασί ποτε Αλεξάνδρῳ τῷ βασιλεῖ τὸν αὐλητὴν Τιμόθεον, τὸ πρῶτον ἐπιδεικνύμενον αὐλῆσαι, κατὰ τὸν ἐκείνου τρόπον, μάλα ἐμπείρως καὶ μουσικῶς, οὐ μαλακὸν ἄυλημα, οὐδ' ἀναβεβλημένον, οὐδὲ τῶ πρὸς ἄνεσιν καὶ ῥαθυμίας ἀγόντων: ἀλλ' αὐτὸν, οἶμαι, τὸν ὄρθιον, τὸν τῆς Αθηνᾶς ἐπικαλούμενον, νόμον: καὶ τὸν Αλέξανδρον εὐθὺς ἀναπηδῆσαι πρὸς τὰ ὅπλα, τοῖς ἐνθέοις ὁμοίως: οὕτω σφόδρα ἐπαρθῆναι αὐτὸν ὑπὸ τοῦ μέλους τῆς μουσικῆς, καὶ τοῦ ῥυθμοῦ τῆς αὐλήσεως. τὸ δὲ τούτου αἴτιον, οὐχ οὕτως ἡ τῆς μουσικῆς δύναμις, ὡς ἡ τοῦ βασιλέως διάνοια σύντονος οὖσα καὶ θυμοειδὴς: ἐπεὶ σαρδανάπαλον

παλον οὐκ ἄν ποτε ἤγειρεν ἐκ τοῦ θαλάμου
καὶ παρὰ τῶν γυναικῶν, οὐχ ὅπως Τιμόθεος,
ἢ ἄλλος τὶς τῶν νεωτέρων, ἀλλ' οὐδὲ Μαρ-
σύας αὐτὸς, ἢ Ολυμπος. δοκεῖ δὲ ἐμοί γε
μηδὲ τῆς Αθηνᾶς, εἰ δυνατὸν, διεξιούσης τὸν
αὐτὸν νόμον, ἅψασθαί ποτε ὅπλων ἐκεῖνος:
πολὺ δ' ἂν πρότερον ὀρχήσασθαι ἀναστὰς, ἢ
φυγεῖν: οὕτως ἀθλίως εἶχεν ὑπ' ἐξουσίας καὶ
τρυφῆς. οὐκοῦν καὶ ἡμᾶς εἰκός ἐστι, μὴ χεί-
ρους ἀνδρὸς αὐλητοῦ γενέσθαι, περὶ τὸ ἡμέτερον
ἔργον: μηδὲ ἧττον ἀνδρείους καὶ μεγαλόφρο-
νας εὑρεῖν λόγους, τῶν ἐκείνου κρουμάτων: ἔτι
δὲ, μὴ ἕνα τρόπον ἡρμοσμένους, ἀλλὰ τοὺς
αὐτοὺς, σφοδρούς τε καὶ πράους, καὶ πολεμι-
κοὺς ἅμα καὶ εἰρηνικοὺς, καὶ νομίμους, καὶ τῷ ὄντι
βασιλικοὺς: ἅτε, οἶμαι, πρὸς ἀνδρεῖον βου-
λόμενον εἶναι καὶ νόμιμον ἡγεμόνα: πολλοῦ
μὲν δεόμενον θάρσους, πολλῆς δὲ καὶ ἐπιει-
κείας. ὁ γοῦν Τιμόθεος, εἰ καθάπερ πολεμι-
κόν τινα διελθεῖν ᾔδει νόμον, οὕτως ἠπίστατο
δίκαιον ἄυλημα, καὶ φρόνιμον καὶ σώφρονα.

τὴν

τῷ ψυχῷ, καὶ φιλάνθρωπον, δωμάμενον παρασχεῖν, μὴ πρὸς ὅπλα ὁρμῶσαν μόνον, ἀλλὰ καὶ πρὸς εἰρήνην καὶ ὁμόνοιαν, καὶ θεῶν τιμὰς, καὶ ἀνθρώπων ἐπιμέλειαν: ἃ πάντες ἂν ἦν ἄξιον Ἀλεξάνδρῳ, παρεῖναί τε καὶ ἐπαυλεῖν, οὐ θρόνῳ μόνον, ἀλλὰ καὶ ἄλλως, ὁπότε ἢ πενθῶν ἀκαίρως τύχοι παρὰ τῷ ἀξίαν καὶ τὸ πρέπον, ἢ κολάζων πικρότερον τοῦ νομίμου καὶ ἐπιεικοῦς, ἢ χαλεπαίνων τοῖς αὐτοῦ φίλοις τε καὶ ἑταίροις, ἢ ὑπερορῶν σοῦ θνητάς τε καὶ ἀληθεῖς γονέας. ἀλλὰ γὰρ ἃ πᾶσιν ἴασιν, οὐδὲ ὠφέλειαν ὁλόκληρον ἠθῶν, ἱκανὴ παρασχεῖν, ἡ μουσικῆς ἐπιστήμη τε καὶ ἕξις. οὐ γὰρ ἔν, ὥς φησιν ὁ ποιητὴς,

——σοὶ δ' ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός.

μόνῳ δὲ ὁ τῶν φρονίμων τε καὶ σοφῶν λόγος (οἷοι γεγόνασιν οἱ πολλοὶ τῶν προγόνων) ἀνενδεὴς καὶ τέλεως ἡμερῶν, καὶ βοηθὸς εὐπειθοῦς καὶ ἀγαθῆς φύσεως πρὸς πᾶσαν ἀρετὴν παραμυθούμενός τε καὶ ἄγων ἐπιμελῶς. ἧς ἂν ἔν πρέπουσι καὶ ἀξία φαγεῖν Δημητριδὴ

τῆς σῆς προθυμίας; πόθεν ἂν εὕροιμεν ἡμεῖς, τέλειον οὕτω λόγον, ἄνδρες ἀλῆται καὶ αὐτουργοὶ τῆς σοφίας; πόνοις τε καὶ ἔργοις, ὡς δυνάμεθα, χαίροντες τὰ πολλὰ: τοὺς δὲ αὖ λόγους, παρακλήσεως ἕνεκεν φθεγγόμενοι πρὸς αὐτοὺς, καὶ τῶν ἄλλων ἀεὶ τῶν ἐντυγχανόντων: ὥσπερ οἱ κινοῦντες καὶ μεταφέροντες οὐκ εὔφορον βάρος, φθέγγονταί τε καὶ ᾄδουσιν ἡσυχῇ, τὸ ἔργον παραμυθούμενοι, ἐργάται ὄντες, οὐκ ᾠδοί τινες, οὐδὲ ποιηταὶ μελῶν. πολλοὶ μὲν οὖν κατὰ φιλοσοφίαν λόγοι, καὶ πάνυ ἀκοῆς ἄξιοι, καὶ θαυμαστὴν ὠφέλειαν ἔχοντες, τοῖς μὴ παρέργως ἀκροωμένοις. ἀλλὰ δεῖ τὸν ἐγγύς τε καὶ μάλιστα ἑψόμενον ἀνευρόντας, καὶ παρακαλέσαντας πειθώ τε, καὶ μούσας, καὶ ἀπόλλωνα, ὡς δυνατὸν, προθύμως διελθεῖν. φέρε, εἴπωμεν τάτε ἤθη καὶ τὴν διάθεσιν τοῦ χρηστοῦ βασιλέως ἐν βραχεῖ περιλαμβάνοντες, ὡς ἔνεστιν:

—ᾧ ἔδωκε κρόνου παῖς ἀγκυλομήτεω
Σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύησιν.

πάνυ

πάνυ γὰρ οὖν καλῶς σὺν ἄλλοις πλείοσιν Ομη-
ρος, ἐμοὶ δοκεῖν, καὶ τοῦτο ἔφη: ὡς οὐχ ἅ-
παντας παρὰ τοῦ διὸς ἔχοντας τὸ σκῆπτρον, οὐδὲ
τὴν ἀρχὴν ταύτην: ἀλλὰ μόνους τοὺς ἀγα-
θοὺς: οὐδὲ ἄλλοις τισὶ δικαίοις, ἢ τῷ βου-
λεύεσθαι καὶ φροντίζειν ὑπὲρ τῶν ἀρχομένων:
οὐχ, ὥς τε ἀκολασταίνειν καὶ σπαθᾶν, ἀνοίας,
καὶ ὕβρεως, καὶ ὑπερηφανίας, καὶ πάσης ἀ-
νομίας ἐμπιπλάμενόν τε, καὶ ἀποπιμπλάν-
τα ἐξ ἅπαντος αὐτοῦ τὴν ψυχὴν, τεταρα-
γμένην ὀργαῖς τὲ, καὶ λύπαις, καὶ φόβοις,
καὶ ἡδοναῖς, καὶ παντοίαις ἐπιθυμίαις: ἀλλ',
ὡς οἷόν τε, προσέχοντα τὸν νοῦν αὐτῷ τε καὶ
τοῖς ὑπεκόοις, νομέα καὶ ποιμένα τῷ ὄντι τῶν
λαῶν γιγνόμενον: οὐχ ἑστιάτορα καὶ δαιτυ-
μόνα, ὡς ἔφη τὶς: οἷον οὐδὲ καθεύδειν αὐτὸν
ἀξιοῖ δι' ὅλης τῆς νυκτὸς, ὡς οὐκ οὔσης αὐτῷ
σχολῆς ῥαθυμεῖν. ταῦτα γάρ φησι καὶ Ομηρος
ὁμοίως τοῖς ἄλλοις σοφοῖς τε καὶ ἀληθέσιν ἀν-
δράσιν: ὡς οὐδείς ποτε πονηρὸς, καὶ ἀκόλα-
στος, καὶ φιλοχρήματος, οὔτε αὐτὸς ἑαυτοῦ
γενέ-

γενέσθαι δυνατὸς ἄρχων, οὐδ' ἐγκρατὴς: οὔτε τῶν ἄλλων οὐδενὸς, οὐδ' ἔσται ποτὲ ἐκεῖνος βασιλεὺς, οὐδ' ἂν πάντες φῶσιν ἕλληνες καὶ βάρβαροι, καὶ ἄνδρες, καὶ γυναῖκες: καὶ μὴ μόνον ἄνθρωποι θαυμάζωσιν αὐτὸν, καὶ ὑπακούωσιν, ἀλλὰ οἵτε ὄρνιθες πετόμενοι, καὶ τὰ θηρία ἐν τοῖς ὄρεσι, μηδὲν ἧττον τῶν ἀνθρώπων, συγχωρῇ τε καὶ ποιῇ τὸ προσταττόμενον. οὐκοῦν λέγωμεν, ὑπὲρ οὗ καθ' Ὁμηρόν τε καὶ τῇ ἀληθείᾳ βασιλέως. οὗτος γὰρ ὁ λόγος ἁπλῶς λεγόμενος ἄνευ πάσης κολακείας ἢ λοιδορίας, αὐτὸς ἀφ' ἑαυτοῦ, τὸν μὲν ὅμοιον τῷ ἀγαθῷ γνωρίζει τε καὶ ἐπαινεῖ, καθ' ὅσον ἐστὶν ἐκείνῳ ὅμοιος: τὸν δὲ ἀνόμοιον, ἐξελέγχει τε καὶ ὀνειδίζει. ἔστι δὴ, πρῶτον μὲν, θεῶν ἐπιμελὴς: καὶ τὸ δαιμόνιον προτιμῶν. οὐ γὰρ δυνατὸν, ἄλλῳ τινὶ πεποιθέναι μᾶλλον τὸν δίκαιον ἄνδρα καὶ ἀγαθὸν, ἢ τοῖς δικαιοτάτοις τε καὶ ἀρίστοις θεοῖς. ὅς τις δὲ κακὸς ὢν ἡγεῖταί ποτε θεοὺς ἀρέσκειν, κατ' αὐτὸ τοῦτο πρῶτον, οὐχ ὅσιός ἐστιν. ἢ γὰρ ἀνόητον, ἢ πονηρὸν νενόμικε τὸ θεῖον. μετὰ δὲ

τοὺς

τοὺς θεοὺς, ἀνθρώπων ἐπιμελεῖται τιμῶν μὲν καὶ ἀγαπῶν τοὺς ἀγαθούς: κηδόμενος δὲ πάντων· τίς μὲν γὰρ ἀγέλης βοῶν κήδεται μᾶλλον τοῦ νέμοντος; τίς δὲ ποιμνίοις ὠφελιμώτερός τε καὶ ἀμείνων ποιμένος; τίς δὲ μᾶλλον φίλιππος, τοῦ πλείστων μὲν ἄρχοντος ἵππων, πλεῖστα δὲ ἀφ' ἵππων ὠφελουμένου; τίνα δὲ εἰκὸς οὕτως εἶναι φιλάνθρωπον, ἢ ὅς τις πλείστων μὲν ἀνθρώπων ἐγκρατής ἐστι; μάλιστα δὲ ὑπὸ ἀνθρώπων θαυμάζεται; δεινὸν γὰρ, εἰ οἱ ἀλλοφύλων καὶ ἀγρίων ἄρχοντες θηρίων, υνούστεροι εἰσι τοῖς ἀρχομοένεις, τοῦ βασιλεύοντος ἀνθρώπων ἡμέρων καὶ ὁμοφύλων. καὶ μέν τοι καὶ φιλοῦσι, καὶ ἀνέχονται μάλιστα πάντων ἀγέλαι μὲν νομέων: ἵπποι δὲ, ἡνιόχων: κυνηγέται δὲ ὑπὸ κυνῶν φυλάσσονται καὶ ἀγαπῶνται: καὶ τὰ ἄλλα οὕτως, ἀγαπᾷ τὰ ἀρχόμενα τοὺς ἄρχοντας. πῶς οὖν εἰκὸς, τὰ μὲν ἄφρονα καὶ ἀγνώμονα, εἰδέναι καὶ φιλεῖν τοὺς ἐπιμελουμένους: τὸ δὲ πάντων συνετώτατον, καὶ μάλιστα ἀποδοῦναι χάριν ἐπιστάμενον, ἀγνοεῖν καὶ ἐπιβουλεύειν; ἀλλὰ

γὰρ

γὰρ ἀνάγκη, τὸν ἥμερον καὶ φιλάνθρωπον βασιλέα, μὴ μόνον φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἀλλὰ καὶ ἐρᾶσθαι. ταῦτ' οὖν εἰδὼς, καὶ φύσει τοιοῦτος ὢν, ἵλεων καὶ πρᾷον παρέχει τὴν ψυχὴν πᾶσιν: ἅτε πάντας ἡγούμενος εὔνους καὶ φίλους. καὶ μὲν δὴ οἴεται δεῖν πλεῖον ἔχειν διὰ τὴν ἀρχὴν, οὐ τῶν χρημάτων, οὐδὲ τῶν ἡδονῶν: ἀλλὰ τῆς ἐπιμελείας καὶ τῶν φροντίδων. ὥστε καὶ φιλόπονος μᾶλλον ἐστὶν, ἢ πολλοὶ τῶν ἄλλων φιλήδονοι καὶ φιλοχρήματοι. ἐπίσταται γὰρ, ὅτι αἱ μὲν ἡδοναὶ, οὗτ' ἀεὶ συνόντας, τά τε ἄλλα λυμαίνονται, καὶ ταχὺ ποιοῦσιν ἀδυνάτους πρὸς αὐτὰς: οἱ δὲ πόνοι τά τε ἄλλα ὠφελοῦντες, ἀεὶ μᾶλλον παρέχουσι δυναμένους πονεῖν. οὐκοῦν, μόνῳ ἔξεστιν αὐτῷ, οὗτ' μὲν στρατιώτας, συστρατιώτας προσειπεῖν: οὗτ' συνήθεις, φίλους, μὴ καταγελῶντα τοῦ ὀνόματος τῆς φιλίας: πατέρα δὲ τῶν πολιτῶν καὶ τῶν ἀρχομένων, οὐ λόγῳ κεκλῆσθαι μόνον, ἀλλὰ τοῖς ἔργοις τοῦτο ἐπιδείκνυσθαι: δεσπότην δὲ, οὐχ ὅπως τῶν ἐλευθέρων,

ἀλλὰ

ἀλλὰ μηδὲ τῶν δούλων χαίρειν καλούμενον. Βασιλεύειν γὰρ οὐκ αὐτοῦ χάριν οἴεται μᾶλλον ἑνὸς ὄντος, ἢ τῶν ἀνθρώπων ἁπάντων: καὶ τοίνυν εὐεργετῶν, ἥδεται πλείω τῶν εὐεργετουμένων: καὶ μόνης ταύτης τῆς ἡδονῆς ἐστὶν ἀκόρεστος. τὰ μὲν γὰρ ἄλλα τῆς βασιλείας ἀναγκαῖα νενόμικε: τὸ δὲ τῆς εὐεργεσίας, μόνον ἑκούσιόν τε καὶ εὔδαιμον. καὶ τῶν μὲν ἀγαθῶν ἀφειδέστατός ἐστιν, ὡς οὐδέποτε ἐπιλειψόντων: κακοῦ δὲ ἧττον, αἴτιος γίνεσθαι πέφυκεν, ἤπερ ὁ ἥλιος τοῦ σκότους: ὃν, οἱ μὲν ἰδόντες καὶ συγγενόμενοι, οὐκ ἐθέλουσιν ἀπολιπεῖν: οἱ δὲ ἀκούοντες, ἐπιθυμοῦσιν ἰδεῖν μᾶλλον, ἢ παῖδες ἀγνοουμένους πατέρας ἀνευρεῖν: τοῦτον οἱ μὲν πολέμιοι δεδοίκασι, καὶ οὐδεὶς ὁμολογεῖ πολέμιος εἶναι: οἱ δὲ φίλοι θαῤῥοῦσι: καὶ οἱ σφόδρα ἐγγὺς ἡγοῦνται πάντες ἐν τῷ ἀσφαλεστάτῳ εἶναι. οὗ τἀναντία ὑπάρχει τῷ κακῷ: τοὺς μὲν ἐχθροὺς θαῤῥύνειν: τοὺς δὲ φίλους καὶ τοὺς ἐγγὺς ἐκπλήττειν καὶ φοβεῖν. τῷ γεμὴν ἡμέρῳ καὶ ἀβλαβεῖ τοὺς μὲν προσλιπαροῦντας,

μετὰ

κατὰ τοῦ πεποιθότος περιγίνεται βιοῦν: οὐδὲ προσιόντας καὶ ὁρῶντας, οὐκ ἔκπληξις, οὐδὲ φόβος, ἀλλ' αἰδὼς ὕπεισι πολὺ κρεῖττον καὶ ἰσχυρότερον φόβου. οὐ μὲν γὰρ φοβουμένους ἀνάγκη μισεῖν καὶ ἀποδιδρᾶν ἐθέλειν: τοὺς δὲ αἰδουμένους παραμένειν καὶ θαυμάζειν. τὴν μὲν οὖν ἁπλότητα καὶ τὴν ἀλήθειαν, ἡγεῖται βασιλικὸν καὶ φρόνιμον: τὴν δὲ πανουργίαν καὶ τὴν ἀπάτην, ἀνόητον καὶ δουλοπρεπὲς: ὁρῶν, ὅτι καὶ τῶν θηρίων τὰ δειλότατα, καὶ ἀγωνέστατα ἐκεῖνα, καὶ ψεύδεται πάντων μάλιστα καὶ ἐξαπατᾷ. φιλότιμος δὲ ὢν τὴν φύσιν, ὅτι τοὺς ἀγαθοὺς πεφύκασιν οἱ ἄνθρωποι τιμᾶν ἧττον ἐλπίζει τιμᾶσθαι ἂν ὑπὸ ἀκόντων ἢ παρὰ μισούντων φιλίας τυγχάνειν: καὶ πολεμικὸς μὲν οὕτως ἐστὶν, ὥστε ἐπ' αὐτῷ εἶναι τὸ πολεμεῖν: εἰρηνικὸς δὲ ὄντως, ὡς μηδὲν ἀξιόμαχον αὐτῷ λείπεσθαι. καὶ γὰρ δὴ καὶ τόδε οἶδεν, ὅτι τοῖς κάλλιστα πολεμεῖν παρεσκευασμένοις, τούτοις μάλιστα ἔξεστιν εἰρήνην ἄγειν. φιλέταιρος δὲ, καὶ φιλοπολίτης, καὶ φιλοστρατιώτης, ὁμοίως πέφυ-

πέφυκεν. ὅς τις μὲν γὰρ ὑπερόπτης τῶν στρατευομένων, καὶ οὐδέπω ποτε ἢ σπανίως ἑώρακε τοὺς ὑπὲρ τῆς ἀρχῆς κινδυνεύοντας καὶ πονοῦντας, τὸν δὲ ἀνόητον καὶ ἄνοπλον ὄχλον διατελεῖ θωπεύων, ὅμοιόν γε πέπονθε, καθάπερ εἰ ποιμὴν τοὺς μὲν συμφυλάττοντας αὐτῷ ἀγνοοίη, καὶ μήτε τροφὴν αὐτοῖς ὀρέγοι, μήτε συναγρυπνήσειέ ποτε φυλάττουσιν. οὗτος γὰρ οὐ τὰ θηρία μόνον, ἀλλὰ καὶ τοὺς κύνας ἀναπείθει, μὴ ἀπέχεσθαι τῆς ποίμνης. ὅς τις δὲ οὗτος μὲν στρατιώτας διαθρύπτει, μήτε γυμνάζων, μήτε πονεῖν παρακελευόμενος, τῶν δὲ ἄλλων ἀνθρώπων ἠμέλησεν: ὅμοιός ἐστι κυβερνήτῃ τοὺς μὲν ναύτας διαφθείροντι πλησμονῇ τε καὶ ὕπνῳ δι' ἡμέρας: τῶν δὲ ἐπιβατῶν καὶ τῆς νηὸς ἀπολλυμένης οὐδὲν φροντίζοντι. εἰ δέ τις πρὸς μὲν ταῦτα ἔχει μετρίως, τοὺς δὲ πλησίον αὐτῷ καὶ φίλους καλουμένους ἀναγκάζει τε, καὶ μὴ σκοπεῖ τοῦτο, ὅπως δόξωσι μακάριοι, καὶ ζηλωτοὶ πᾶσι, λανθάνει προδότης αὐτοῦ καὶ τῆς ἀρχῆς γενόμενος: οὗτος

μὲν ὄντας φίλους ἀθύμους ποιῶν, τῶν δὲ ἄλλων μηδένα ἐπιθυμεῖν τῆς αὐτοῦ φιλίας: ἀποστερῶν δὲ αὐτὸν τοῦ καλλίστου καὶ ὠφελιμωτάτου κτήματος φιλίας. τίς μὲν γὰρ ἀοκνότερος πονεῖν, ὅταν τοιούτου καιρὸς ᾖ, φίλου; τίς δὲ δυσχεραίνειν ἑτοιμότερος ἐν ταῖς εὐτυχίαις; ὁ παρὰ τίνος δὲ ἔπαινος ἡδίων, ἢ τῶν φίλων; παρὰ τίνος δὲ τἀληθὲς ἀλυπότερον; τίς δὲ φρουρὰ; ποῖα δὲ ἐρύματα; ποῖα δὲ ὅπλα βεβαιότερα καὶ κρείττω τῆς ἀπὸ τῶν εὐνοούντων φυλακῆς; ὁπόσους γὰρ ἄν τις ᾖ κεκτημένος ἑταίρους: τοσούτοις μὲν ὀφθαλμοῖς, ἃ βούλεται, ὁρᾷ: τοσούταις δὲ ἀκοαῖς, ἃ δεῖ, ἀκούει: τοσαύταις δὲ διανοίαις διανοεῖται περὶ τῶν συμφερόντων. διαφέρει γὰρ οὐδὲν: ἢ εἴ τῳ θεὸς ἓν σῶμα ἔχοντι πολλὰς ψυχὰς ἔδωκεν, ἁπάσας ὑπὲρ ἐκείνου προνοουμένας. ἵνα δὲ τὰ πολλὰ ἀφεὶς, εἴπω τὸ φανερώτατον σημεῖον: τοιοῦτός ἐστιν ὁ χρηστὸς βασιλεὺς, ὃν οἱ ἀγαθοὶ ἄνδρες οὐκ αἰσχύνονται ἐπαινοῦντες, οὔτε τὸν παρόντα χρόνον, οὔτε τὸν ὕστερον. καὶ

μὲν

μέν τοι καὶ αὐτὸς, οὐ τὸν παρὰ τῶν βαναύσων καὶ ἀγοραίων ἀγαπᾷ τὸν ἔπαινον, ἀλλὰ τὸν παρὰ τῶν ἐλευθέρων καὶ γενναίων: οἷς οὐκ ἄξιον τὸ ζῆν ψευσαμένοις. τίς οὖν οὐκ ἂν μακαρίσειεν τὸν τοιοῦτον ἄνδρα τὲ καὶ βίον; πόθεν δὲ οὐκ ἂν ἔλθοιεν ἐπ' ἐκεῖνον ὀψόμενοί τε αὐτὸν καὶ ἀπολαύσοντες τῆς καλῆς διανοίας καὶ ἀγαθῆς; τί μὲν γὰρ σεμνότερον θέαμα, γενναίου καὶ φιλοπόνου βασιλέως; τί δὲ ἥδιον ἡμέρου καὶ προσφιλοῦς; πάντας μὲν εὖ ποιεῖν ἐπιθυμοῦντος, ἅπαντας δὲ δυναμένου; τί δὲ λυσιτελέστερον ἴσου καὶ δικαίου; τίνος μὲν γὰρ ὁ βίος ἀσφαλέστερος, ἢ ὃν πάντες ὁμοίως φυλάττουσιν; ὁ τίνος δὲ ἡδίων, ἢ τοῦ μηδένα ἐχθρὸν ἡγουμένου; τίνος δὲ ἀλυπότερος, ἢ τοῦ μηδὲν ἔχοντος αὐτὸν αἰτιάσασθαι; τίς δὲ εὐτυχέστερος ἐκείνου τοῦ ἀνδρὸς, ὃς τῶν ἀγαθῶν οὐδένα λανθάνει; ἐγὼ μὲν οὖν ἁπλῶς εἶπον, τὰ περὶ τὸν ἀγαθὸν βασιλέα. τούτων δὲ εἴτι φαίνεται προσήκειν σοι: μακάριος μὲν αὐτὸς, τῆς εὐγνώμονος

καὶ ἀγαθῆς φύσεως: μακάριοι δὲ ἡμεῖς οἱ
συμμετέχοντες. μετὰ δὲ τὸν γοῦν εἰρημένον
λόγον, ἐγὼ μὲν ἐπεθύμουν διελθεῖν περὶ τοῦ
μεγίστου καὶ πρώτου βασιλέως καὶ ἄρχοντος:
ὃν χρὴ μιμουμένους ἀεὶ τοὺς θνητοὺς καὶ τὰ τῶν
θνητῶν διέποντας, ἐπιμελεῖσθαι, πρὸς ἐκεῖνον,
ὡς δυνατόν ἐστιν, εὐθύνοντας καὶ ἀφομοιοῦντας
τὸν αὐτῶν τρόπον. Διὰ τοῦτο γὰρ καὶ Ὁμηρος
διοτρεφέας εἶναι φησὶ τοὺς ἀληθῶς βασιλέας,
καὶ Διὶ τὴν βουλὴν ὁμοίους, καὶ τὸν Μίνω με-
γίστην ἔχοντα δόξαν ἐπὶ δικαιοσύνῃ, τοῦ Διὸς
ὁμιλητὴν, ἔφη γενέσθαι: καὶ σχεδὸν ὅσοι πώποτε
ἐν ἕλλησιν, ἢ βαρβάροις γεγόνασι βασιλεῖς,
οὐκ ἀνάξιοι τυγχάνειν ταύτης τῆς προσηγο-
ρίας, τοῦ θεοῦ τούτου μαθητὰς τε καὶ ζηλωτὰς
ὁ λόγος αὐτοὺς ἀποφαίνει). Ζεὺς γὰρ μόνος
θεῶν πατὴρ καὶ βασιλεὺς ἐπονομάζεται, καὶ πο-
λιεὺς, καὶ φίλιός τε καὶ ἑταιρεῖος καὶ ὁμό-
γνιος: πρὸς δὲ τούτοις, ἱκέσιός τε καὶ φύξιος,
καὶ ξένιος, καὶ μυρίας ἄλλας ἐπικλήσεις ἔχων,
πάσας ἀγαθὰς καὶ ἀγαθῶν αἰτίας. βασιλεὺς
μὲν,

μὲν, κατὰ τὴν ἀρχὴν καὶ τὴν δύναμιν ὠνομασμένος: πατὴρ δὲ, οἶμαι, διά τε τὴν κηδεμονίαν καὶ τὸ πρᾷον: πολιεὺς δὲ, κατὰ τὸν νόμον καὶ τὸ κοινὸν ὄφελος: ὁμόγνιος δὲ, διὰ τὴν τοῦ γένους κοινωνίαν, θεοῖς τε καὶ ἀνθρώποις: φίλιος δὲ, καὶ ἑταιρεῖος, ὅτι πάντας ἀνθρώπους ξυνάγει, καὶ βούλεται εἶναι ἀλλήλοις φίλους, ἐχθρὸν δὲ ἢ πολέμιον μηδένα: ἱκέσιος δὲ, ὡς ἂν ἐπήκοός τε καὶ ἵλεως τοῖς δεομένοις: φύξιος δὲ, διὰ τὴν τῶν κακῶν ἀπόφευξιν: ξένιος δὲ, ὅτι καὶ τοῦτο ἀρχὴ φιλίας, μηδὲ τῶν ξένων ἀμελεῖν, μηδὲ ἀλλότριον ἡγεῖσθαι μηδένα ἄνθρωπον: κτήσιος δὲ, καὶ ἐπικάρπιος, ἅτε τῶν καρπῶν αἴτιος, καὶ δοτὴρ πλούτου καὶ κτήσεως, οὐ πενίας, οὐδὲ ἀπορίας: ὡς εὐθὺς ἁπάσας ταύτας δέον γενέσθαι τὰς δυνάμεις, τῇ τοῦ βασιλέως δυνάμει τε καὶ κλήσει. καλὸν οὖν εἰπεῖν ὑπὲρ τῶν ὅλων τῆς διοικήσεως ὁποῖόν γε τὸ ξύμπαν, ὡς ἂν, αὐτός τε τὸ εὔδαιμον καὶ σῶφρον ἀεὶ διαπορεύηται τὸν ἄπειρον αἰῶνα, συνεχῶς ἐν ἀπείροις περιόδοις, μετὰ

ψυχῆς τὲ ἀρετῆς καὶ δαίμονος ὁμοίως, καὶ
σωφροσύνης, καὶ δικαιοτάτης τὲ καὶ
ἀρίστης, ἡμᾶς τε ὁμοίους παρέχηται, κ' φύ-
σιν κοινὴν, τὴν αὐτοῦ καὶ τὴν ἡμετέραν ὑφ'
ἑνὶ θεσμῷ καὶ νόμοις κεκοσμημένους, καὶ τῆς
αὐτῆς μετέχοντας πολιτείας: ἢν ὁ μὲν τιμῶν
καὶ φυλάττων, καὶ μηδὲν ἐναντίον πράττων,
νόμιμος, καὶ θεοφιλὴς, καὶ κόσμιος: ὁ δὲ
παράττων, ὅσον ἐφ' ἑαυτῷ καὶ παραβαίνων
καὶ ἀγνοῶν, ἄνομος καὶ ἄκοσμος, ὁμοίως
μὲν ἰδιώτης, ὁμοίως δὲ ἄρχων ὀνομαζόμε-
νος: πολὺ δὲ μείζων καὶ φανερωτέρα πᾶ-
σιν ἡ παρὰ τοῦ ἄρχοντος ὠλημμέλεια. ὥ-
σπερ ἦν, ὅσοι στρατηγοῦντες καὶ ἄρχοντες στρατοπέ-
δων καὶ πόλεων καὶ ἐθνῶν, ὅς τις αὖ τὸν σὸν μά-
λιστα μιμῆται τρόπον, καὶ τοῖς σοῖς ἤθεσιν ὅ-
μοιον αὐτὸν, ὡς δυνατὸν, φαίνηται παρέχων,
ἕτος αὖ εἴη σοι πάντων ἐπιτηδειότατος καὶ σωσ-
φιλέστατος: εἰ δέ τις ἐναντίος καὶ ἀνόμοιος
γίγνοιτο, δικαίως αὖ τυγχάνοι μέμψεώς τε
καὶ ἀλγηδόνος, καὶ αὐτῆς τε τῆς ἀρχῆς ταχὺ
παυ-

παυσθεὶς, παραχωρήσειεν ἑτέροις ἀμείνοσί τε καὶ ἄμεινον δυναμένοις διοικεῖν: οὕτω δὴ καὶ τῶν βασιλέων (ἅτε οἶμαι παρὰ τοῦ διὸς ἐχόντων τὴν δύναμιν καὶ τὴν ἐπιτροπὴν) ὃς μὲν ἂν, πρὸς ἐκεῖνον βλέπων, πρὸς τὸν τοῦ διὸς νόμον τε καὶ θεσμὸν κοσμῇ καὶ ἀρχῇ δικαίως τε καὶ καλῶς, ἀγαθῆς τυγχάνει μοίρας, καὶ τέλους εὐτυχοῦς: ὃς δ' ἂν παραβῇ καὶ ἀτιμάσῃ τὸν ἐπιτρέψαντα ἢ δόντα τὴν δωρεὰν ταύτην, οὐδὲν ἀπώνατο τῶν ἀπὸ τῆς πολλῆς ἐξουσίας καὶ δυνάμεως, ἢ τοσοῦτον μόνον, ὅσον φανερὸς πᾶσι γενέσθαι τοῖς καθ' αὑτὸν καὶ τοῖς ὕστερον, πονηρὸς καὶ ἀκόλαστος ὢν: τὸ μυθευόμενον φαέθοντος ἀναπληρώσας πότμον: ἅτε ἰσχυροῦ καὶ θείου παρὰ μοῖραν ἐπιβὰς ἅρματος, οὐκ ἱκανὸς ἂν ἡνίοχος. λέγει γὰρ καὶ Ομηρος, ὧδέπως.

Ος μὲν ἀπηνής τ' αὐτὸς ἔῃ, καὶ ἀπηνέα εἰδῇ,
Τῷδε καταρῶν τ' πάντες βροτοὶ ἄλγε ὀπίσσω
Ζωῷ, ἀτὰρ τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες.
Ος δ' ἂν ἀμύμων τ' αὐτὸς ἔῃ, καὶ ἀμύμενα εἰδῇ.

Τοῦ μέν τοι κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
Πάντας ἐπ' ἀνθρώπους, πολλοί τέ μεν ἐσθλὸν
ἔειπον. τὸ μὲν οὖν ἐμὸν, ὅπερ ἔφην, ἥδιστ' ἂν
καὶ προθυμότατα, τοῦτον εἴποιμ' ἂν σὸν λόγον,
τὸ ὑπὲρ τοῦ διὸς, καὶ τῆς τοῦ παντὸς φύσεως: ἐπεὶ
δὲ πλεῖόν ἐστι παντὸς τοῦ καιροῦ τοῦ παρόντος,
καὶ δεόμενον ἀποδείξεων ἀκριβεστέρων: αὖθις
ποτὲ ἴσως γένοιτ' ἂν σχολὴ διελθεῖν αὐτὸ. εἰδ'
ἄρα μῦθον τινὰ ἐθέλοις ἀκοῦσαι, μᾶλλον δὲ ὑ-
γιῆ καὶ ἱερὸν λόγον, σχήματι μύθου λεγόμενον, τυ-
χὸν οὐκ ἄτοπός σοι φανήσεται, νῦν τε καὶ ὕστε-
ρον ἐνθυμουμένῳ κατὰ σαυτὸ, ὃν ἐγώ ποτε ἤκουσα
γυναικὸς Ηλείας, ἢ Αρκαδίας ὑπὲρ Ηρα-
κλέους διηγουμένης. ὡς γὰρ ἔτυχον ἐν τῇ
φυγῇ ποτὲ ἀλώμενος, (καὶ πολλήν γε χάριν
οἶδα τοῖς θεοῖς, ὅτι μὲ οὐκ εἴασαν θεατὴν
γενέσθαι πολλῶν καὶ ἀδίκων πραγμάτων) ἐ-
πήειν γοῦν, ὡς ἐδυνάμην, πλείστην γῆν, ἐν
ἀγύρτου σχήματι καὶ στολῇ, τοῦτο μὲν παρ' ἕλ-
ληνας, τοῦτο δὲ παρὰ βαρβάρους,
Αἰτίζων ἀκόλους, οὐκ ἄρνας, οὐδὲ λέβητας:

καὶ δήποτε ἀφικόμενος εἰς Πελοπόννησον, ταῖς μὲν πόλεσιν οὐ πάνυ προσήειν: περὶ δὲ τὴν χώραν διέτριβον, ἅτε πολλὴν ἱστορίαν ἔχουσαν, νομεῦσι καὶ κυνηγέταις, γυναίοις τε καὶ ἁπλοῖς ἤθεσιν ἐπιμιγνύμενος: καὶ δὴ βαδίζων ὡς ἀφ' Ηραίας εἰς Πῖσαν παρὰ τοῦ Αλφειοῦ, μέχρι μέν τινος ἀπετύγχανον τῆς ὁδοῦ, μεταξὺ δὲ εἰς ὕλην τινὰ καὶ δυσχωρίαν ἐμπεσὼν, καὶ πλείους ἀτραποὺς, ἐπὶ βουκολίοις ἅττα καὶ ποίμναις φερούσας, οὐδενὶ συναντῶν, οὐδὲ δυνάμενος ἔρεσθαι, διημάρτανόν τε καὶ ἐπλανώμην, μεσημβρίᾳ σταθερᾷ. ἰδὼν οὖν ἐπὶ ὑψηλῶ τινι δρυῶν συστροφὴν, οἷον ἄλσος, ᾠχόμην ὡς ἀποψόμενος ἐντεῦθεν ὁδόν τινα ἢ οἰκίαν, καὶ καταλαμβάνω λίθους τέ τινας εἰκῇ ξυγκειμένους, καὶ δέρματα ἱερείων κρεμάμενα, καὶ ῥόπαλα, καὶ βακτηρίας, νομέων τινῶν ἀναθήματα, ὡς ἐφαίνετο: ὀλίγον δὲ ἀποτέρω, καθημένην γυναῖκα ἰσχυρὰν καὶ μεγάλην, τῇ δὲ

ἡλικίᾳ πρεσβυτέραν, τὰ μὲν ἄλλα ἀγροικον σολλῶ ἔχουσαν, σλοκάμους δὲ λίνας πολιοὺς καθεῖτο. Ταύτην ἔκασα ἀνηρώτων: ἡ δὲ πάνυ πρᾴως καὶ φιλοφρόνως διαλεζουσα τῇ φωνῇ, τόν τε τόπον ἔφραζεν, ὡς ἱερὸς Ηρακλέους εἴη: καὶ σερὶ ἑαυτῆς, ὅτι παῖδα ἔχοι σοιμένα: καὶ σολλάκις αὐτὴ νέμοι τὸ σρόβατα: ἔχειν δὲ μανθάνω, ὅτι μητρὸς θεῶν διδομένην: χρῆσθαι δ' αὐτῇ τούς τε νομέας σάντας τοὺς σλησίον: καὶ σὺν γεωργοὺς ὑσὲρ καρσῶν καὶ βοσκημάτων γνώσεως καὶ ζωτηρίας. Καὶ σὺ δὲ ἐσεὶ ἐλήλυθας, ἔφη, σὸν ἄνδρ' θείας τύχης εἰς τόνδε τὸν τόσον, σὸν ἐάσω σε ἀσελθεῖν μάτην. καὶ μὴ τούτων δὴ σροέλεγθαι, ὅτι οὐ σολὺς χρόνος ἔσοιτό μοι τῆς ἄλης καὶ τῆς ζαλαισωρίας: οὔτε σοι εἶσον, οὔτε τοῖς ἄλλοις ἀνθρώσοις. Ταῦτα δὲ ἔλεγθο, σὸχ ὥσσερ οἱ σολλοὶ τῶν λεγομένων ἐνθέων ἀνδρῶν καὶ γυναικῶν, ἀθυμαίνουσι καὶ σεριδινοῦσι τὴν κεφαλὴν, καὶ σειρωμένη δεινὸν ἐμβλέσειν, ἀλλὰ σάνυ ἐγκρατῶς, καὶ ζωφρόνως.

Συμ-

Συμβαλεῖς δέ, ἔφη, ποτὲ ἀνδρί τε καρτερῷ πλείστης ἄρχοντι χώρας, καὶ ἀνθρώπων: τούτῳ μήποτε ὀκνήσῃς εἰπεῖν τόνδε τὸν μῦθον: εἰ καί σου καταφρονεῖν τινὲς μέλλοιεν, ὡς ἀδολέσχου καὶ πλάνητος· οἱ γὰρ ἀνθρώπων λόγοι, καὶ τὰ πάντα σοφίσματα, οὐδενὸς ἄξια πρὸς τὴν παρὰ τῶν θεῶν ἐπίνοιαν, καὶ φήμην. ὅσοι γάρ ποτε σοφοί καὶ ἀληθεῖς κατ' ἀνθρώπους λόγοι περὶ θεῶν τε καὶ τοῦ ξύμπαντος, οὐκ ἄνευ θείας ποτὲ βουλήσεως καὶ τύχης ἐν ψυχῇ ἀνθρώπων ἐγένοντο: ὡς ἔστι μαθεῖν διὰ τῶν πρώτων μαντικῶν τε καὶ θείων ἀνδρῶν: οἷον ἐν θράκῃ τινὰ λέγουσιν ὀρφέα γενέσθαι μούσης υἱόν: ἄλλον δὲ ποιμένα ἐν ὄρει τινὶ τῆς Βοιωτίας αὐτῶν ἀκοῦσαι τῶν μουσῶν. ὅσοι δὲ ἄνευ δαιμονίου κατοχῆς καὶ ἐπιπνοίας, λόγους τινὰς ὡς ἀληθεῖς παρ' αὐτῶν ἐκόμισαν εἰς τὸν βίον, ἀτόπους καὶ πονηροὺς. διόπερ δὴ ἄκουε τοῦδε τοῦ μύθου σφόδρα ἐγρηγόρως τε καὶ τὸν νοῦν προσέχων: ὅπως διαμνημονεύσας ἀπαγγείλῃς πρὸς ἐκεῖνον, ᾧ φημί γε συμβαλεῖν.

ἔστι

ἔστι δὲ περὶ τοῦδε τοῦ θεοῦ, παρ' ᾧ νῦν ἐσμεν. ἦν μὲν γὰρ ὡς πάντες λέγουσι διὸς υἱὸς ἐξ Αλκμήνης: βασιλεὺς δὲ οὐ μόνον Ἀργους, ἀλλὰ καὶ τῆς ἑλλάδος ἁπάσης. τοῦτο δέ οἱ πολλοὶ οὐκ ἴσασιν: ἀλλ' ὅτι αὐτὸς ἀπεδήμει στρατευόμενος, καὶ φυλάττων τὴν ἀρχὴν: οὐδ' Εὐρυσθέα φασὶ βασιλεύειν τότε: ὃς ἦν πάντων φιλοπονώτατος, καὶ πολὺ κρείττων τῶν ἐκεῖ. ταῦτα δὴ λέγεται μάτην ὑπό τινων. ἐκεῖνος δὲ οὐ μόνον τῆς ἑλλάδος ἦν βασιλεὺς: ἀλλ' ἀπ' ἀνίσχοντος ἡλίου μέχρι δυομένου, πάσης ἦρχε γῆς, ἢ τῶν ἀνθρώπων ἁπάντων, παρ' οἷς ἱερά ἐστιν Ηρακλέους. ἦν δὲ καὶ πεπαιδευμένος ἁπλῶς, οὐ πολύτροπος, οὐδὲ περιττὸς σοφίσμασι, καὶ πανουργήμασιν ἀνθρώπων κακοδαιμόνων. λέγουσι δὲ καὶ ταῦτα περὶ Ηρακλέους, ὡς γυμνὸς ᾔει, μόνον ἔχων λεοντῆν καὶ ῥόπαλον. τοῦτο δὲ οὕτω λέγουσιν, ὅτι ἐκεῖνος οὔτε χρυσίον, οὔτε ἀργύριον, οὔτε ἐσθῆτα περὶ πολλοῦ ἐποιεῖτο, ἀλλὰ ταῦτα πάντα ἐνόμιζε τοῦ μηδενὸς ἄξια, πλὴν ὅσον δοῦναι καὶ χαρίσασθαι.

πολ-

πολλοῖς γοῦν οὐ μόνον χρήματα ἄπειρα καὶ γῆν καὶ ἀγέλας ἵππων καὶ βοῶν, ἀλλὰ βασιλείας καὶ πόλεις ὅλας ἐδωρήσατο. ἐπίστευε γὰρ αὐτοῦ πάντα εἶναι, καὶ οὐδὲν ἀλλότριον, προσγενέσθαι δὲ τοῖς δοθεῖσι τὴν εὔνοιαν τῶν λαβόντων. οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἀληθὲς φασὶν, ὅτι δὴ περιῄει μόνος ἄνευ στρατιᾶς. οὐ γὰρ δυνατὸν πόλεις τὲ ἐξαιρεῖν, καὶ τυράννους ἀνθρώπους καταλύειν, καὶ πᾶσι πανταχοῦ προστάττειν χωρὶς δυνάμεως. ὅτι δὲ αὐτουργὸς ἦν καὶ τῇ ψυχῇ πρόθυμος, καὶ τὸ σῶμα ἱκανὸς, καὶ πάντων μάλιστα ἐπόνει, μόνον αὐτὸν ἔφασαν βαδίζειν, καὶ πράττειν ἅπαντα, ὅσα βούλοιτο. καὶ μὲν ὅγε πατὴρ αὐτοῦ, πολλὴν ἐπιμέλειαν ἐποιεῖτο, ὁρμάς τε ἀγαθὰς ἐπιπέμπων, καὶ εἰς ὁμιλίας ἀνθρώπων ἀγαθῶν ἄγων. ἐσήμηνε δὲ καὶ δι' οἰωνῶν, καὶ δι' ἐμπύρων, καὶ διὰ πάσης μαντικῆς ἕκαστα. ἐπειδὴ δὲ ἑώρα βουλόμενον ἄρχειν ἑαυτοῦ, οὐ τῶν ἡδονῶν, οὐδὲ τῶν πλεονεξιῶν ἐπιθυμοῦντα, ὧν ἕνεκεν οἱ πολλοὶ πλούτου ἐρῶσιν,

ἀλλ'

ἀλλ' ὡς ἂν δύνηται πλεῖστα, καὶ πλείστους εὖ ποιεῖν, ἐπιστάμενος αὐτοῦ γενναίαν οὖσαν τὴν φύσιν: ὅμως δὲ ὑπονοῶν, ὅσον ἦν ἐν αὐτῷ θνητὸν, καὶ ὅτι παραδείγματα ἐν ἀνθρώποις πονηρὰ εἴη τρυφῆς καὶ ἀκολασίας, καὶ πολλοὶ παρατρέπουσιν ἄκοντα, τὸν πεφυλαγμένον ὀρθῶς, ἔξω τῆς αὐτοῦ φύσεώς τε καὶ γνώμης: ταῦτα λογιζόμενος, Ἑρμῆν ἔπεμψε, κελεύσας, ἃ δεῖ ποιεῖν: ὁ δὲ, ἀφικόμενος εἰς Θήβας, ἔνθα νέος ὢν ἐτρέφετο Ἡρακλῆς, ἔφραζέ τε, ὃς εἴη, καὶ παράτου πεμφθεὶς, καὶ ἄγει λαβὼν αὐτὸν, ἄφραστον καὶ ἄβατον ἀνθρώποις ὁδὸν, ἕως ἦλθεν ἐπί τινα ὑπεροχὴν ὄρους περιφανῆ καὶ σφόδρα ὑψηλὴν, τὰ δὲ ἔξωθεν, δεινῶς ἀπότομον κρημνοῖς ὀρθίοις, καὶ βαθείᾳ φάραγγι, ποταμοῦ κύκλῳ περιῤῥέοντος πολὺν ψόφον τε καὶ ἦχον ἀναδιδόντος, ὡς τοῖς κάτωθεν ἀναβλέπουσι, μίαν ὁρᾶσθαι τὴν ἄνω κορυφὴν: τὸ δὲ ἀληθὲς ἦν δίδυμος ἐκ μιᾶς ῥίζης, καὶ πολύ γε ἀλλήλων διεστήκεσαν. ἐκαλεῖτο δὲ αὐτῶν, ἡ μὲν βασίλειος ἄκρα, ἱερὰ

διὸς

διὸς βασιλέως: ἡ δὲ ἑτέρα τυραννικὴ Τυφῶνος ἐπώνυμος. δύο δὲ εἶχον ἔξωθεν ἐφόδους εἰς αὐτὰς ἑκατέρα: ἡ μὲν βασίλειος, ἀσφαλὴς καὶ πλατεῖα, ὡς ἀκινδύνως τε καὶ ἀπταίστως δι' αὐτῆς εἰσιέναι ἐφ' ἅρματος ἐλαύνοντα: εἴτῳ δεδομένον εἴη παρὰ τοῦ μεγίστου θεῶν. ἡ δὲ ἑτέρα στενήν τε, καὶ σκολιὰν, καὶ βίαιον, ὡς οὐ πλείστους πειρωμένους αὐτῆς οἴχεσθαι κατὰ τῶν κρημνῶν καὶ τοῦ ῥεύματος, ἅτε, οἶμαι, παρὰ δίκην ἰόντας. φαίνεται μὲν οὖν, ὅπερ ἔφην, τοῖς πολλοῖς, ἅτε ὁρῶσι μακρόθεν, ἄμφω, μίαν τε καὶ ἐν ταὐτῷ σχεδὸν: ὑπερέχει δὲ ἡ βασίλειος κορυφὴ τοσοῦτον, ὥς τε ἐκείνη μὲν ἐπάνω τῶν νεφῶν ἐστιν, ἐν αὐτῷ τῷ τε καθαρῷ καὶ αἰθερίῳ ἀέρι: ἡ δὲ ἑτέρα πολὺ κατωτέρω, περὶ αὐτὴν μάλιστα τὴν τῶν νεφῶν στυγραφὴν, σκοτεινὴ καὶ ἀχλυώδης. ἄγων οὖν ἐκεῖσε Ερμῆς, ἐπέδειξε τὴν φύσιν τοῦ χωρίου. τοῦτ' δὲ ἦν Ηρακλέους, ἅτε νέου καὶ φιλοτίμου, προθυμουμένου θεάσασθαι τὰ ἔνδον: ἐκοῦν, ἔπου, φησὶν, ἵνα καὶ

σαφῶς

σαφῶς ἴδῃς τὴν διαφορὰν τῶν ἄλλων, ἃ λαν-
θάνει τοὺς ἀνοήτους, ἐπεδείκνυεν οὖν αὐτῷ
πρῶτον ἐπὶ τῆς μείζονος κορυφῆς καθημέ-
νην ἐν θρόνῳ λαμπρῷ γυναῖκα εὐειδῆ, καὶ
μεγάλην, ἐσθῆτι λευκῇ κεκοσμημένην, σκῆ-
πτρον ἔχουσαν, οὐ χρυσοῦν, οὐδὲ ἀργυροῦν,
ἀλλ' ἑτέρας φύσεως καθαρᾶς καὶ πολὺ λαμ-
προτέρας, ὁποίαν μάλιστα τὴν Ηραν γράφου-
σι: τὸ δὲ πρόσωπον, φαιδρὸν ὁμοῦ καὶ σεμ-
νὸν: ὡς τοὺς μὲν ἀγαθοὺς ἅπαντας θαῤῥεῖν ὁ-
ρῶντας, κακῶν δὲ μηδένα δύνασθαι προσι-
δεῖν: μὴ μᾶλλον ἢ τὸν ἀσθενῆ τὴν ὄψιν ἀνα-
βλέψαι πρὸς τὸν τοῦ ἡλίου κύκλον. καθεστη-
κὸς δὲ καὶ ὅμοιον αὐτῇ τὸ εἶδος ὁρᾶσθαι: καὶ
τὸ βλέμμα οὐ μετατρεπόμενον: πολλὴν δ' εὐ-
φημίαν τε καὶ ἡσυχίαν ἀθόρυβον κατέχειν τὸν
τόπον: εἶναι δὲ ἅπαντας μετὰ καρπῶν τε καὶ
ζώων εὐθηνούντων ἀπὸ παντὸς γένους. παρῆν
δὲ καὶ χρυσὸς αὐθότι ἄπλετος σεσωρευμέ-
νος, καὶ ἄργυρος, καὶ χαλκὸς, καὶ σίδηρος.
οὐ μὲν ἐκείνη γε οὐδὲν τῷ χρυσῷ προσεῖχεν,
οὐδὲ

οὐδὲ ἐτέρπετο, ἀλλὰ μᾶλλον τοῖς καρποῖς τὲ καὶ ζώοις. ἰδὼν οὖν αὐτὴν ὁ Ηρακλῆς ᾐδέσθη τὲ, καὶ ἠρυθρίασε, τιμῶν καὶ σεβόμενος, ὡς ἂν ἀγαθὸς παῖς μητέρα γυναίαν: καὶ ἤρετο τίς ἐστι θεῶν τὸν Ερμῆν. ὁ δὲ εἶπεν: αὕτη σοι μακαρία δαίμων, βασιλέια, διὸς βασιλέως ἔκγονος. ὁ δὲ Ηρακλῆς ἐχάρη, καὶ ἐθάρρησε πρὸς αὐτὴν. καὶ αὖθις ἐπήρετο τὰς σὺν αὐτῇ γυναῖκας: τίνες εἰσὶν, ἔφη, ὡς εὐσχήμονες, καὶ μεγαλοπρεπεῖς, καὶ ἀρρενωποὶ. ἥδε μὲν, ἔφη, σοι ἡ προσορῶσα γοργόν τε καὶ πρᾷον, καὶ ἐκ δεξιῶν καθημένη, δίκη, πλείστῳ δὴ καὶ φανερωτάτῳ λάμπουσα κάλλει. παρὰ δὲ αὐτὴν, εὐνομία πάνυ ὁμοία, καὶ μικρὸν διαφέρουσα τὸ κάλλος. ἐκ δὲ τοῦ ἐπὶ θάτερα μέρους γυνὴ, σφόδρα ὡραία, καὶ ἁβρῶς ἑσταμένη καὶ μειδιῶσα ἀλύπως: εἰρήνην καλοῦσιν αὐτὴν. ὁ δὲ ἐγγὺς οὗτος ἑστηκὼς τῆς βασιλείας παρ' αὐτὸ τὸ σκῆπτρον ἔμπροσθεν, ἰσχυρὸς ἀνὴρ πολιὸς καὶ μεγαλόφρων: οὗτος δὲ καλεῖται νόμος: ὁ δὲ αὐτὸς, καὶ λόγος ὀρθὸς κέκληται.

ζύμβουλος καὶ πάρεδρος, οὗ χωρὶς, οὐδὲν ἐκείναις πρᾶξαι θέμις, οὐδὲ διανοηθῆναι. Ταῦτα μὲν οὖν ἀκούων καὶ ὁρῶν, ἐτέρπετο καὶ προσεῖχε τὸν νοῦν, ὡς οὐδέ ποτε αὐτῶν ἐπιλησόμενος. ἐντεῦθεν δὴ, ἐπεὶ κατιόντες ἐγένοντο κατὰ τὴν τυραννικὴν εἴσοδον: δεῦρο, ἔφη, θέασαι καὶ τὴν ἑτέραν, ἧς ἐρῶσιν οἱ πολλοὶ, καὶ περὶ ἧς πολλὰ καὶ παντοδαπὰ πράγματα ἔχουσιν, φονεύοντες ἀλλήλους καὶ ἐπιβουλεύοντες οἱ ταλαίποροι, παῖδές τε γονεῦσι πολλάκις, καὶ γονεῖς παισὶ, καὶ ἀδελφοὶ ἀδελφοῖς, τὸ μέγιστον κακὸν ἐπιποθοῦντες, καὶ μακαρίζοντες ἐξουσίαν μετὰ ἀνοίας. καὶ δὴ πρῶτον μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ἐδείκνυεν: ὡς μία μὲν ἐφαίνετο πρόδηλος καὶ αὕτη σχεδόν, ὁποίαν πρότερον εἶπον, ἐπισφαλὴς δὲ καὶ παρ' αὐτὸν φέρουσα τὸν κρημνὸν: πολλαὶ δὲ ἄδηλοι καὶ ἀφανεῖς διαδύσεις, καὶ κύκλῳ πού ὑπόνομος ὁ τόπος, καὶ διατετμημένος ὑπ' αὐτὸν, οἶμαι, τὸν θρόνον: αἱ δὲ πάροδοι καὶ ἀτραποὶ πᾶσαι, πεφυρ-

φυρμέναι αἵματι καὶ μεσταὶ νεκρῶν. διὰ δὲ τούτων οὐδεμιᾶς ἦγεν αὐτὸν, ἀλλ' ἔξωθεν καθαρωτέραν, ἅτε, οἶμαι, θεατὴν ἐσόμενον. ἐπεὶ δὲ εἰσῆλθον καταλαμβάνουσι τὴν τυραννίδα καθημένην, ὑψηλὴν ἐξεπίτηδες, προσποιουμένην καὶ ἀφομοιοῦσαν αὐτὴν τῇ βασιλείᾳ. πολὺ δὲ ὡς ἐνόμιζεν ὑψηλοτέρῳ καὶ κρείττονι τῷ θρόνῳ μυρίας τινὰς ἄλλας ἔχοντι γλυφὰς καὶ διαθέσεις, χρυσοῦ, καὶ ἐλέφαντος, καὶ ἠλέκτρου, καὶ ἐβένου, καὶ παντοδαπῶν χρωμάτων πεποικιλμένῳ: τὴν δὲ βᾶσιν, οὐκ ἦν ἀσφαλὴς ὁ θρόνος, οὐδ' ἱδρυμένος, ἀλλὰ κινούμενός τε καὶ ἀμάζων. ἦν δὲ οὐδ' ἄλλο οὐδὲν ἐν κόσμῳ διακείμενον: ἀλλὰ πρὸς δόξαν ἅπαντα καὶ ἀλαζονείαν, καὶ τρυφὴν, πολλὰ μὲν σκῆπτρα, πολλαὶ δὲ τιάραι, καὶ διαδήματα ἐπὶ τῆς κεφαλῆς. καὶ δὴ μιμουμένη τὸ ἐκείνης ἦθος. καὶ ἀντὶ μὲν τοῦ προσφιλοῦς μειδιάματος ταπεινὸν ἐπεσήρου, καὶ ὕπουλον, ἀντὶ δὲ τοῦ σεμνοῦ βλέμματος, σκυθρωπὸν ὑφεωρᾶτο καὶ ἄγριον: ἵνα δὲ φαίνοιτο μεγαλόφρων,

οὐ προσέβλεπε οὐδὲ προσιόντας: ἀλλ' ὑφεώρα καὶ ἠτίμαζεν. ἐκ τούτου ἦ πᾶσιν ἀπήχθανετο: πάντας δὲ ἠγνόει. καθημένη δὲ: ἀτρεμίζειν οὐκ ἠδύνατο: ἀμυνὰ δὲ κύκλῳ προσιέβλεπεν: καὶ ἀνεπήδα πολλάκις ἐκ τοῦ θρόνου: τὸ δὲ χρυσίον, αὐχισσὶ ἐφύλαττεν ἐν τοῖς κόλποις: πάλιν δὲ ἔρριπτε φοβηθεῖσα ἀθρόον: εἶτ' εὐθὺς ἥρπαζεν, ὅτι ἔχοι τὶς τ' παρεόντων, καὶ τὸ βραχύτατον. ἡ δὲ ἐσθὴς παντοδαπῆ, τοῦτο μὲν ἀλουργῶν, τοῦτο δὲ φοινικῶν, τοῦτο ἦ κροκωτῆ: ἦσαν δὲ καὶ λευκοί τινες φαινόμενοι τῶν πέπλων: πολλὰ δὲ καὶ κατέρρηκτο τῆς στολῆς: χρώμαθ' ἦ παντοδαπὰ ἠφίει, φοβουμένη, καὶ ἀγωνιῶσα, καὶ ἀπιστοῦσα, καὶ ὀργιζομένη. καὶ πολὲ μὲν ὑπὸ λύπης ἐπαπεινὴ: ποτὲ δὲ ὑφ' ἡδονῆς μετέωρος ἐωρᾶτο: καὶ γνοῦ μὲν ἐγέλα τῷ προσώπῳ πάνυ ἀσελγῶς: πάλιν ἦ εὐθὺς ἐθρώνει. ἰὼ δὲ καὶ ὁμιλοῦσα πρὸς αὐτὸν γυναικῶν, οὐδὲν ἐκείναις ὁμοίων, ἃς ἔφην εἶναι πρὸς τὴν βασιλείαν: ἀλλ' ὠμότης καὶ ὕβρις, καὶ ἀνομία, καὶ στά-

σις:

σις: ἃι πᾶσαν διέφθειρον αὐτὴν καὶ κάκιστα ἀπώλλυον: ἀντὶ δὲ φιλίας κολακεία παρῆν, δουλοπρεπὴς καὶ ἀνελεύθερος, οὐδεμιᾶς ἧττον ἐπιβουλεύουσα ἐκείνων, ἀλλὰ μᾶλλον δὲ πάντων ἀπολέσαι ζητοῦσα. ὡς δὲ καὶ ταῦτα ἱκανῶς ἐθεάσατο, ᾠήθη αὐτὸν ὁ Ἑρμῆς: πότερα αὐτὸν ἀρέσει τὰ πράγματα: καὶ πότερα τῶν γυναικῶν: ἀλλὰ τὴν μὲν ἑτέραν, ἔφη, θαυμάζω καὶ ἀγαπῶ, καὶ δοκεῖ μοι θεὸς ἀληθὴς εἶναι, ζήλου καὶ μακαρισμοῦ ἀξία. ταύτην δὲ τὴν ὑστέραν, ἐχθίστην ἔγωγε ἡγοῦμαι καὶ μιαρωτάτην. ὥστε ἤδιστα αὖ αὐτὴν ὤσαιμι κατὰ τούτου τοῦ σκοπέλου, καὶ ἀφανίσαιμι. ταῦτ' οὖν εἰπόντα ὁ Ἑρμῆς, καὶ τῷ Διὶ ἔφρασεν, κἀκεῖνος ἐπέτρεψεν αὐτῷ, βασιλεύειν τοῦ ζύμπαντος ἀνθρώπων γένους, ὡς ὄντι ἱκανῷ. τὴν δὲ ἕν ὅπου μὲν ἴδοι τυραννίδα καὶ τύραννον, σκόλαζε καὶ ἀνήρου, παρά τε ἕλλησι καὶ βαρβάροις: ὅπου δὲ βασιλείαν καὶ βασιλέα, ἐτίμα καὶ ἐφύλαττε. καὶ δὴ τοῦτο τῆς γῆς καὶ τῶν ἀνθρώπων ζωτῆρα

εἶναι: οὐχ ὅτι τὰ θηρία αὐτοῖς ἀπήμωσεν. οὐ γὰρ ἄντι καὶ βλάψειε λέων ἢ σῦς ἄγριος, ἀλλ' ὅτι οὗτοι ἀνημέρους καὶ πονηροὺς ἀνθρώπους ἐκόλαζε, καὶ τῶν ὑπερηφάνων τυράννων κατέλυε καὶ ἀφῃρεῖτο τὴν ἐξουσίαν: καὶ νῦν ἔτι τοῦτο δρᾷ, καὶ βοηθός ἐστι καὶ φύλαξ τῆς ἐρχῆς, ἕως ἂν τυγχάνῃς βασιλεύων.

ΔΙΩΝΟΣ ΧΡΥΣΟΣΤΟΜΟΥ
περὶ βασιλείας, λόγος β.

Λέγεταί ποτε Ἀλέξανδρον τῷ πατρὶ Φιλίππῳ μειράκιον ὄντα, διαλεχθῆναι περὶ Ὁμήρου, μάλα ἀνδρείως καὶ μεγαλοφρόνως. οἱ δὲ αὐτοὶ λόγοι οὗτοι ἀχεδόν τι καὶ περὶ βασιλείας ἦσαν. ἐτύγχανε μὲν γὰρ ὁ Ἀλέξανδρος στρατοῦόμενος ἤδη μετὰ τοῦ πατρὸς, καί τι τοῦ Φιλίππου κωλύοντος. ὁ δὲ, οὐχ οἷός τ' ἦν κατέχειν αὐτὸν: ὥσπερ οἱ γυναῖοι σκύλακες οὐχ ὑπομένουσιν ἀπολείπεσθαι τὸ ὀπὶ θήραν ἐξιόντων, ἀλλὰ ξυνέπονται πολλάκις διαρρήξαντες τὰ δεσμά. ἐνίοτε μὲν ἓν ταράττουσιν ἐν τῷ ἔργῳ διὰ τὴν νεότητα καὶ τὴν ὀπιθυμίαν φθεγγόμενοι, καὶ πρὸ τοῦ κήρυκος τὸ θηρίον ἀνιχνεύοντες: ἐνίοτε μὴν ἕλκον αὐτοὶ προσπηδήσαντες. τοιαῦτα ἐκεῖνος ἐπάσχετο πρῶτον: ὥστε καὶ τῆς ἐν

χαιρωνείᾳ μάχης τὲ καὶ νίκης φασὶν αὐτὸν αἴτιον γενέσθαι, τοῦ πατρὸς ὀκνοῦντος τὸν κίνδυνον. τότε δ' οὖν ἀπὸ στρατιᾶς ἥκοντες, ἐν Δίῳ τῆς πιερίας ἔθυον ταῖς μούσαις, καὶ τὸν ἀγῶνα τῶν ὀλυμπίων ἐτίθεσαν, ὅν φασιν ἀρχαῖον εἶναι παρ' αὐτοῖς. ἤρετο οὖν αὐτὸν ὁ Φίλιππος ἐν τῇ συνουσίᾳ διὰ τί ποτε, ὦ παῖ, σφόδρα οὕτως ἐκπέπληξαι τὸν Ομηρον, ᾧ γε διατρίβεις περὶ μόνον τῶν ποιητῶν; ἐχρῆν μέν τοι μηδὲ τῶν ἄλλων ἀμελῶς ἔχειν. σοφοὶ γὰρ οἱ ἄνδρες. καὶ ὁ Αλέξανδρος ἔφη, ὅτι δοκεῖ μοι, ὦ πάτερ, οὐ πᾶσα ποιήσις βασιλεῖ τρέπειν, ὥσπερ οὐ δὲ στολὴ. τὰ μὲν οὖν ἀλλὰ ποιήματα, ἔγωγε ἡγοῦμαι, τὰ μὲν συμποτικὰ αὐτῶν, τὰ δὲ ἐρωτικὰ, τὰ δὲ ἐγκώμια ἀθλητῶν τὲ καὶ ἵππων νικώντων, τὰ δ' ἐπὶ τοῖς τεθνεῶσι θρήνους, τὰ δὲ γέλωτος ἕνεκεν ἢ λοιδορίας πεποιημένα: ὥσπερ τὰ τῶν κωμωδιοδιδασκάλων, καὶ τὰ τοῦ Παρίου ποιητοῦ. ἴσως δέ τινα αὐτῶν καὶ δημοτικὰ λέγοιτ' ἂν συμβουλεύοντα καὶ παραινοῦντα τοῖς πολλοῖς καὶ ἰδιώταις:

καθά-

καθάπερ οἶμαι τὰ Φωκυλίδου καὶ Θεόγνιδος: ἀφ' ὧν τί ἂν ὠφελθῆναι δύναιτο ἀνὴρ, ἡμῖν ὅμοιος, Πάντων μὲν κρατέειν ἐθέλων, πάντεσσι δ' ἀνάσσειν;

τὴν δέ γε Ομήρου ποίησιν μόνην ὁρῶ τῷ ὄντι γενναίαν, καὶ μεγαλοπρεπῆ, καὶ βασιλικὴν: ἣ πρέπει τὸν νοῦν προσέχειν, τῶν ἀνδρῶν μάλιστα μὲν ἄρξειν μέλλοντα, τῶν ὅποι ποτὲ ἀνθρώπων: εἰ δὲ μὴ, τῶν πλείστων καὶ φανερωτάτων, ἀτεχνῶς γε ἐσόμενον, κατ' ἐκεῖνον, ποιμένα λαῶν. εἰ δὲ μὴ, πῶς οὐκ ἄτοπον, ἵππῳ μὲν μὴ ἐθέλειν, ἢ τῷ ἀρίστῳ χρῆσθαι τὸν βασιλέα: τῶν δὲ ποιητῶν καὶ τοῖς ἥττοσιν ἐντυγχάνειν, ὥσπερ σχολὴν ἄγοντα; εὖ ἴσθι. ἔφη, ὦ πάτερ, ἐγὼ οὐ μόνον ποιητὴν ἕτερον, ἀλλ' οὐδὲ μέτρον ἄλλο, ἢ τὸ Ομήρου ἡρῷον ἀκούων, ἄχθομαι. πάνυ οὖν αὐτὸν ὁ Φίλιππος ἠγάσθη τῆς μεγαλοφροσύνης, ὅτι δῆλος ἦν οὐδὲν φαῦλον, οὐδὲ ταπεινὸν ἐπινοῶν: ἀλλὰ τοῖς τε ἥρωσι καὶ τοῖς ἡμιθέοις παραβαλλόμενον: ὅμως δὲ κινεῖν αὐτὸν βουλομένος: τὸ

δὲ Ησίοδον ὦ Αλέξανδρε ὀλίγου κρίνεις, ἔφη, ποιητὴν; οὐκ ἔγωγε εἶπεν: ἀλλὰ τοῦ παντὸς: οὐ μέν τοι βασιλεῦσιν, οὐδὲ στρατηγοῖς ἴσως. ἀλλὰ τίσι μὴν; καὶ ὁ Αλέξανδρος γελάσας, τοῖς ποιμέσιν, ἔφη, καὶ τοῖς τέκτοσι, καὶ τοῖς γεωργοῖς. τοὺς μὲν γὰρ ποιμένας φησὶ φιλεῖσθαι ὑπὸ τῶν μουσῶν: τοῖς δὲ τέκτοσι, μάλα ἐμπείρως παραινεῖ, πηλίκον χρὴ τὸν ἄξονα τεμεῖν: καὶ τοῖς γεωργοῖς, ὁπηνίκα ἄρξασθαι πίθου. τί οὖν οὐχὶ ταῦτα χρήσιμα, ἔφη, τοῖς ἀνθρώποις ὁ φίλιππος; οὐχ ἡμῖν γε εἶπεν, ὦ πάτερ, οὐδὲ Μακεδόσι τοῖς νῦν: ἀλλὰ τοῖς πρότερον, ἡνίκα νέμοντες καὶ γεωργοῦντες, Ιλλυριοῖς ἐδούλευον καὶ Τριβαλλοῖς. οὐδὲ τὰ περὶ τὸν σπόρον, ἔφη, τὸν ἀμητὸν, ὁ φίλιππος, ἀρέσκει σοι τοῦ Ησίοδου μεγαλοπρεπῶς οὕτως εἰρημένα;

Πληϊάδων ἀτλαγενέων ἐπιτελλομενάων,
Αρχεσθ' ἀμητοῦ: ἀροτοῖο δὲ δυσσομενάων;

πολύγε μᾶλλον εἶπεν ὁ Αλέξανδρος τὰ παρ' Ομήρῳ γεωργικὰ. καὶ ποῦ περὶ γεωργίας εἴρηκεν

ρηκεν Ομηρος, ἤρετο ὁ Φίλιππος: ἢ τὰ ἐν τῇ ἀσπίδι μιμήματα λέγεις; τῶν ἀρουώτων, καὶ θεριζόντων, καὶ τρυγώντων; ἥκιστά γε εἶπεν ὁ Αλέξανδρος: ἀλλὰ ἐκεῖνο πολυ μᾶλλον.

Οἱ δ' ὥς τ' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν, ὄγμον ἐλαύνουσιν ἀνδρὸς μάκαρος κατ' ἄρουπυρῶν, ἢ κριθῶν: τὰ δὲ δράγματα (ραν τάρφεα πίπτει:

ὡς τρῶες καὶ ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες, δῄουν. οὐδέτεροι μνώοντ' ὀλοοῖο φόβοιο.

Ταῦτα μὲν Ομηρος ποιῶν ἡττᾶτο ὑπὸ Ησίοδου ὁ Φίλιππος εἶπεν: ἢ οὐκ ἀκήκοας τὸ ἐπίγραμμα τὸ ἐν Ελικῶνι τὸ ἐπὶ τοῦ τρίποδος;

Ησίοδος μούσαις Ελικωνίσι, τόν δ' ἀνέθηκεν Υμνῳ νικήσας ἐν χαλκίδι θεῖον Ομηρον.

καὶ μάλα δικαίως, εἶπεν ὁ Αλέξανδρος, ἡττᾶτο. οὐ γὰρ ἐν βασιλεῦσιν ἠγωνίζετο: ἀλλ' ἐν γεωργοῖς καὶ ἰδιώταις: μᾶλλον δὲ ἐν ἀνθρώποις φιληδόνοις καὶ μαλακοῖς: τοιγαροῦν ἠμύνατο οὗτο εὐβοέας διὰ τῆς ποιήσεως

Ομη-

Ομηρος. πῶς; ἤρετο θαυμάσας ὁ Φίλιππος. ὅτι μόνους αὐτοὺς τῶν ἑλλήνων περιέκειρεν αἴσχιστα, κομᾶν ὄπισθεν ἀφεὶς, ὥσπερ οἱ νῦν τοὺς παῖδας τοὺς ἀπαλοὺς. καὶ ὁ Φίλιππος γελάσας λέγει: οἶδας, ὦ Αλέξανδρε, ὅτι δεῖ μὴ λυπεῖν τοὺς ἀγαθοὺς ποιητὰς: μηδὲ τοὺς δεινοὺς συγγραφέας, ὡς κυρίους ὄντας, ὅτι βούλονται περὶ ἡμῶν λέγειν. οὐ πάντως, εἶπε, κυρίους. τῷ γοῦν Στησιχόρῳ ψευσαμένῳ κατὰ τῆς Ελένης οὐ συνήνεγκεν. οὐ μέν τοι Ησίοδος, ὦ πάτερ, δοκεῖ μοι οὐδὲ αὐτὸς ἀγνοεῖν τὴν ἑαυτοῦ δύναμιν, ὅσον ἐλείπετο Ομήρου. πῶς λέγεις; ὅτι ἐκείνου περὶ τῶν ἡρώων ποιήσαντος, αὐτὸς ἐποίησε γυναικῶν κατάλογον, ἐν τῷ ὄντι τὴν γυναικωνῖτιν ὕμνησεν, παραχωρήσας Ομήρῳ τοὺς ἄνδρας ἐπαινέσαι. ἐκ τούτου δὲ ἤρετο ὁ Φίλιππος: ἀλλὰ σὺ, ὦ Αλέξανδρε, πότερον ἕλοιο αὖ, Αγαμέμνων, ἢ Αχιλλεὺς, ἢ ἐκείνων τὶς γεγονέναι τῶν ἡρώων, ἢ Ομηρος; οὐ μέν τοι, ἦ δ' ὃς, ὁ Αλέξανδρος, ἀλλὰ ὑπερβάλλειν πολὺ τὸν Αχιλλέα καὶ

τοὺς

τοῦ ἄλλους. οὔτε γὰρ σὲ χείρονα νομίζω τοῦ Πηλέως: οὔτε τῆς Φθίας ἀσθενεστέραν τῆς Μακεδονίαν: οὔτε τὸν Ὄλυμπον ἀδοξότερον ὄρους τοῦ Πηλίου φαίλω ἂν: ἀλλὰ μὴν οὐδὲ παιδείας φαυλοτέρας ἐπιτετύχηκα ὑπὸ Ἀριστοτέλους, ἢ σὲ ἐκεῖνος ὑπὸ φοίνικος τοῦ Ἀμυντορος, φυγάδος ἀνδρὸς ἐκ διαφόρου τῷ πατρί. πρὸς δὲ ἔτι τούτοις, ὁ μὲν Ἀχιλλεὺς ὑπήκουεν ἑτέροις, καὶ πέμπεται μὲν μικρᾶς δωσάμενος κυρίως ἄλλῳ συστατούμενος: ἐγὼ δὲ οὐκ ἂν πολὺ ὑπὸ ἀνθρώπων οὐδενὸς βασιλευθείην. καὶ ὁ Φίλιππος μικροῦ παροξυνθείς, ἀλλ' οὐχ ὑπὸ ἐμοῦ γε οὐ βασιλεύσῃ; ὦ Ἀλέξανδρε. οὐκ ἔγωγε, εἶπεν. ἐγὼ γὰρ οὐ βασιλέως, ἀλλ' ὡς πατρὸς ἀκούω σου. σὺ δή που καὶ θεᾶς φήσεις μητρὸς γεγονέναι σεαυτὸν, ὥσπερ ὁ Ἀχιλλεύς, εἶπεν ὁ Φίλιππος: ἢ Ὀλυμπιάδα ζημιοῦν ἀξιοῖς θέτιδι; καὶ ὁ Ἀλέξανδρος ἡσυχῇ μειδιάσας, ἐμοὶ μὲν εἶπεν, ὦ πάτερ, ἀνδρειοτέρα δοκεῖ πασῶν Νηρηίδων. ἐνταῦθα ὁ Φίλιππος γελάσας, οὐκ ἀν-

ἀνδρειοτέρα μόνον, ἔφη, ὦ παῖ, ἀλλὰ καὶ πολεμικωτέρα. ἐμοὶ γοῦν οὐ παύεται πολεμοῦσα. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον ἅμα τῇ σπουδῇ ἐπαιξάτην. πάλιν δὲ ἤρετο αὐτὸν ὁ Φίλιππος: ἀλλὰ τὸν Ομηρον οὕτω σφόδρα, ὦ Αλέξανδρε, θαυμάζων, πῶς ὑπερορᾶς αὐτοῦ τὴν σοφίαν; ὅτι, ἔφη, καὶ τοῦ ὀλυμπιάσι κηρυκος, ἥδιστ' ἂν, ἀκούοιμ' ἂν, φθεγγομένου μέγα καὶ σαφὲς. οὐ μέν τοι κηρύττειν ἐβουλόμην αὐτὸς ἑτέρους νικῶντας: ἀλλὰ πολὺ μᾶλλον κηρύττεσθαι. ταῦτα δὲ λέγων ἐποίει φανερὸν, ὅτι τὸν μὲν Ομηρον ἐνόμιζε δαιμόνιον καὶ θεῖον τῷ ὄντι κήρυκα τῆς ἀρετῆς: αὐτὸν δὲ καὶ τοὺς ἄνδρας ἐκείνους, ἀθλητάς τε καὶ ἀγωνιστὰς τῶν καλῶν ἔργων ἡγεῖτο. οὐδὲν μὲν οὖν ἄτοπον εἶπεν, ὦ πάτερ, εἰ καὶ ποιητὴς ἀγαθὸς εἴη παρεχούσης τῆς φύσεως. ἐπείτοι καὶ ῥητορικῆς δέοι ἂν, τῷ βασιλεῖ. σὺ γοῦν ἀντιγράφειν πολλάκις ἀναγκάζῃ καὶ ἀντιλέγεις Δημοσθένει, μάλα δεινῷ ῥήτορι καὶ γόητι, καὶ τοῖς ἄλλοις τοῖς Αθήνῃσι πολιτευομένοις.

καὶ

καὶ ἐβουλόμην γε, εἶπεν ὁ Φίλιππος παίζων, παραχωρῆσαι Αθηναίοις Αμφιπόλεως ἀντὶ τῆς Δημοσθένους δεινότητος. ἀλλὰ πῶς Ομηρον οἴει διανοεῖσθαι περὶ ῥητορικῆς; δοκεῖ μοι, ἔφη, τὸ πρᾶγμα θαυμάζειν, ὦ πάτερ. οὐ γὰρ ἄν ποτε Αχιλλεῖ διδάσκαλον τῶν λόγων ἐπήγετο τὸν Φοίνικα. Φησὶ γοῦν πεμφθῆναι αὐτὸν ὑπὸ τοῦ πατρὸς:

Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων:

τῶν τε ἄλλων σοῦ ἀρίστους καὶ βασιλικωτάτους ἐποίησεν, ἐσπουδακότας οὐχ ἧττον περὶ τὴν τοιαύτην δύναμιν, τόν τε Διομήδη, καὶ Οδυσσέα, καὶ Νέστορα: τοῦτον μέν τοι καὶ ὑπερβάλλοντα τῇ συνέσει καὶ τῇ πειθοῖ. Φησὶ γοῦν ἐν ἀρχῇ τῆς ποιήσεως: (αὐδή.

Τοῦ καὶ ἀπὸ γλώσσης, μέλιτος γλυκίων ῥέεν ὥστε καὶ τὸν Αγαμέμνονα εὔχεσθαι, δέκα γέροντας αὐτῷ τοιούτους εἶναι μᾶλλον συμβούλους, ἢ νεανίσκους, οἷος ὅ, τ' Αἴας καὶ Αχιλλεὺς, ὡς θᾶττον ἂν ἁλούσης τῆς τροίας: καὶ μὲν τὸ μέγεθος τῆς περὶ σοῦ λόγους

χρείας;

χρείας, ἐδήλωσεν ἐν ἑτέρῳ. τῶν γὰρ ἑλλήνων διὰ τὸ μῆκος τοῦ πολέμου καὶ τὴν χαλεπότητα τῆς πολιορκίας, ἔτι δὲ, οἶμαι, διὰ τὴν ἐπιλαβοῦσαν νόσον, καὶ τὴν στάσιν τῶν βασιλέων, τοῦ τε Αγαμέμνονος καὶ Αχιλλέως ἀπειρηκότων ἤδη πρὸς τὴν στρατείαν: πρὸς δὲ αὖ τούτοις, δημαγωγοῦ τινος ἐπιστάντος αὐτοῖς, καὶ ταράξαντος τὴν ἐκκλησίαν, τὸ πλῆθος ὥρμησεν ἐπὶ τὰς ναῦς: καὶ παραχρῆμα ἐμβάντες, ἐβούλοντο φεύγειν, οὐδενὸς δυναμένου κατέχειν, οὐδὲ τοῦ Αγαμέμνονος ἔχοντος, ὅτι χρήσεται τοῖς παροῦσι πράγμασιν: οὐκοῦν ἐνταῦθα μόνος αὐτὸς ἐδυνήθη μετακαλέσαι καὶ μεταβαλεῖν Οδυσσεὺς: καὶ τέλος ἔπεισε δημηγορῶν μετὰ τοῦ Νέστορος μένειν. ὥστε τοῦτο μὲν τὸ ἔργον, φανερῶς τῶν ῥητόρων ἐγένετο. πολλὰ δὲ ἄν τις ἐπιδείξειε καὶ ἕτερα. φαίνεται δ' οὐ μόνον Ομηρος, ἀλλὰ καὶ Ησίοδος οὕτω φρονῶν: ὡς φιλοσοφίας τὲ ἅμα καὶ ῥητορικῆς τῆς ἀληθοῦς, τῷ βασιλεῖ προσηκόντων, ἐν οἷς φησὶ περὶ Καλλιόπης.

Η γὰρ

Ἡ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὁπηδεῖ,
Ον τινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο,
Γεινάμενόν τ' ἐσίδωσι διοτρεφέων βασιλήων.

ἔπη μὲν οὖν ποιεῖν, ὦ πάτερ, ἢ λόγους πεζοὺς συγγράφειν, ὁποίας σὺ τὰς ἐπιστολὰς, ἀφ' ὧν σφόδρα σε φασὶν εὐδοκιμεῖν, οὐ πάντως ἀναγκαῖον τοῖς βασιλεῦσιν, εἰ μήγε νέοις οὖσιν ἔτι, καὶ σχολὴν ἄγουσιν: ὥσπερ καὶ σὲ λέγουσιν ἐν Θήβαις διαπονῆσαι τὰ περὶ σοῦ λόγους. οὐδ' αὖ φιλοσοφίας ἅπτεσθαι πρὸς τὸ ἀκριβέστατον: ἁπλάστως δὲ καὶ ἁπλῶς ἐνδεικνύμενον αὐτοῖς τοῖς ἔργοις φιλανθρώποις ἦθος καὶ πρᾶον καὶ δίκαιον: ἔτι δὲ ὑψηλὸν καὶ ἀνδρεῖον, καὶ μάλιστα δὴ χαίροντα εὐεργεσίαις, ὅπερ ἐστιν ἐγγυτάτω τῆς τῶν θεῶν φύσεως: τῶν γε μὴν λόγων ἡδέως ἀκούοντα, τῶν ἐκ φιλοσοφίας, ὁπότ' ἂν καιρὸς, ἅτε οὐκ ἐναντίων φαινομένων, ἀλλὰ συμφώνων τοῖς αὐτοῦ τρόποις: τέρπεσθαι δὲ ποιήσει καὶ προσέχειν τὸν νοῦν, οὐχ ἁπάσῃ, τῇ δὲ καλλίστῃ καὶ μεγαλοπρεπεστάτῃ, συμβουλεύσαιμ' ἂν τῷ

γραίῳ καὶ βασιλικῷ τῇ ψυχῇ: οἵαν μόνην ἴσμεν τῷ Ομήρου, καὶ τῇ Ησιόδου τὴ τοιαῦτα, καὶ εἴπις ἄλλότι λέγει χρηστὸν. οὔτε γὰρ μουσικὴ, ἔφη, πᾶσαν μανθάνειν, εθέλοιμ' ἄν, ἀλλὰ κιθάρα μόνον ἢ λύρα χρήσθαι πρὸς θεῶν ὕμνους καὶ θεραπείας: ἔτι δὲ οἶμαι, τῶν ἀγαθῶν ἀνδρῶν τοὺς ἐπαίνους: οὐδέ γε ἄδειν τὰ Σαπφοῦς, ἢ Ανακρέοντος ἐρωτικὰ μέλη, πρέπον αὖ εἶη τοῖς βασιλεῦσιν: ἀλλ' εἴπερ ἄρα, τῶν Στησιχόρου μελῶν, ἢ Πινδάρου, ἐὰν ἡ τις ἀνάγκη. τυχὸν δὲ καὶ πρὸς τοῦτο, ἱκανὸς Ομηρος. ἦ γὰρ εἶπεν, ὁ Φίλιππος, πρὸς κιθάραν συμφωνήσαντι, τίνα σοι δοκεῖ αὖ τῶν Ομήρου; καὶ ὁ Αλέξανδρος γοργὸν ἐμβλέψας, ὥσπερ λέων: ἐγὼ μὲν, εἶπεν, ὦ πάτερ, οἶμαι, πρέπειν πολλὰ τῶν Ομήρου ἐπῶν, πρὸς σάλπιγγα ᾄδεσθαι: μὰ Δι' οὐ τὴν ἀνακαλοῦσαν, ἀλλὰ τὴν ἐποτρυνοῦσαν καὶ παρακελευομένην, οὐχ ὑπὸ γυναικείου χοροῦ λεγόμενα, ἢ παρθενῶν, ἀλλ' ὑπὸ φάλαγγος ἀνδρῶν, πολὺ μᾶλλον, ἢ πὸ Τυρ-

Τυρταίου παρὰ τοῖς Λάκωσιν. ἔνθα ἐπῄνεσεν ὡς καλῶς αὐτὸν εἰπόντα ὁ Φίλιππος, καὶ ἀξίως τοῦ ποιητοῦ. οὐκοῦν ἦδ' ὃς, καὶ τούτου, ὑπὲρ οὗ νῦν ἐμνήσθημεν, Ὅμηρος ἐπιδείκνυσι. τὸν γοῦν Ἀχιλλέα πεποίηκεν ὑστερίζοντα, ἐν τῷ στρατοπεδῷ τῶν Ἀχαιῶν, οὐχ ἔκλυτα, οὐδὲ ἐρωτικὰ μέλη ᾄδοντα: καί τοι φησί γε αὐτὸν ἐρᾶν τῆς Βρισηΐδος: ἀλλὰ κιθάρᾳ μὲν χρῆσθαι, μὰ δι' οὐκ ὠνησάμενον, οὐδ' οἴκοθεν ἄγοντα παρὰ τοῦ πατρὸς, ἀλλὰ ἐκ τῶν λαφύρων ἐξελόμενον, ὅτε εἷλε τὰς θήβας, καὶ τὸν Ἠετίωνα ἀπέκτεινε τὸν τοῦ Ἕκτορος κηδεστὴν:

Τῇ ὅγε, φησὶ, θυμὸν ἔτερπεν: ἄειδε δ' ἄρα κλέα ἀνδρῶν:

ὡς οὐδέ ποτε ἐκλανθάνεσθαι δέον τῆς ἀρετῆς, οὐδὲ τῶν εὐκλεῶν πράξεων, οὔ τε πίνοντα, οὔ τε ᾄδοντα, τὸν γενναῖον ἄνδρα καὶ βασιλικὸν: ἀλλ' ἀεὶ διατελεῖν ἢ πράττοντα αὐτὸν μέγα τι θαυμαστὸν, ἢ μεμνημένον τῶν ὁμοίων. ταῦτα δὲ ἔλεγε πρὸς τὸν πατέρα

ἐπιδεικνύμενος τὴν αὐτοῦ διάνοιαν. καὶ γὰρ δὴ ἐτύγχανε τὸν μὲν Ομηρον ἀγαπῶν, τὸν Αχιλλέα δὲ οὐ μόνον ἐθαύμαζεν, ἀλλὰ καὶ ἐζηλοτύπει τῆς Ομήρου ποιήσεως: ὥσπερ οἱ καλοὶ παῖδες ζηλοτυποῦσι τοὺς καλοὺς, ἐνίοτε κρειττόνων ἐραστῶν τυγχάνοντας: τὸν δὲ Αγαμέμνονα οὐκ ἐμακάριζεν. ἤλπιζε γὰρ πολὺ πλειόνων ἄρξειν αὐτὸν, ἢ ὁπόσων ἐκεῖνος. τῶν δὲ ἄλλων ποιητῶν οὐ σφόδρα ἐφρόντιζε: Στησιχόρου δὲ καὶ Πινδάρου ἐπεμνήσθη: τοῦ μὲν, ὅτι μιμητὴς Ομήρου γενέσθαι δοκεῖ, καὶ τὴν ἅλωσιν οὐκ ἀναξίως ἐποίησε τῆς Τροίας: τοῦ δὲ Πινδάρου διά τε τὴν λαμπρότητα τῆς φύσεως, καὶ ὅτι τὸν πρόγονον αὐτοῦ καὶ ὁμώνυμον ἐπῄνεσεν Αλέξανδρον, τὸν Φιλέλληνα. ἐπικληθέντα, ποιήσας εἰς αὐτὸν: Ολβίων ἐπώνυμε Δαρδανιδαῖ. διὰ τοῦτο γὰρ καὶ Θήβας ὕστερον πορθῶν, μόνην κατέλιπε τὴν οἰκίαν ἐκείνου, κελεύσας ἐπιγράψαι: Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε. ἦ που πολλὴν ἠπίστατο χάριν τοῖς ἀρετὴν ἐγκωμιάζουσι μὴ

σι μὴ Φαύλως, ἔτως ἄγαν φιλότιμος ὢν.
τί δή, εἶπεν ὁ Φίλιππος, ὦ παῖ: πάνυ γὰρ
ἡδέως ἀκούω σου τὰ τοιαῦτα λέγοντος: οὐδὲ
οἴκησιν ἀξιοῖς κατεσκευάσθαι τὸν βασιλέα
κεκοσμημένην λίθῳ χρυσῷ, καὶ ἐλέφαντι, καὶ ἠ-
λέκτρῳ τοῖς πολυτίμοις; οὐδαμῶς εἶπεν, ὦ
πάτερ: πολὺ δὲ μᾶλλον σκύλοις τε καὶ ὅπλοις
πολεμίων ἀνδρῶν, καὶ τά γε ἱερὰ τοιούτοις κό-
σμοις ἱλάσκεσθαι: καθάπερ καὶ ὁ Ἕκτωρ ἠξίου
προσκαλούμενος τὸν ἄριστον τῶν Ἀχαιῶν, ὅτι
κρατήσας, τὸ μὲν σῶμα ἀποδώσει τοῖς
Τρωσὶν, τὰ δὲ ὅπλα, ἔφη, σκυλεύσω
καὶ κρεμάσω πρὸ νηὸν Ἀπόλλωνος ἑκάτοιο.
τῷ παντὶ δὴ, κρείττων ἔτος κόσμος τῶν ἱε-
ρῶν: ἢ Σμαραγδῶν, καὶ Σαρδίων, καὶ ὀνύ-
χων: οἷς ἦν ὁ Σαρδανάπαλος περὶ οἶκον.
οὐ δὴ βασιλέως τὰ τοιαῦτα φιλοκοσμήματα:
οὐδαμῶς, ἀλλ' ἀνοήτου μὲν παίγνια κόρης,
ἀκολάστου δὲ γυναικός. οὕτω οὐδὲ Ἀθη-
ναίους ἔτως, ἔφη, ζηλῶ τῆς ὀλυμπάνης καὶ
πολυτελείας τῆς περὶ τὴν πόλιν καὶ τὰ ἱερὰ,

ὅσον τῶν ἔργων, ἃ ἔπραξαν οἱ πρότερον τὸν ἀκινάκην τοῦ Μαρδονίου, πολὺ σεμνότερον καὶ κρεῖττον ἀνάθημα ἔχουσαν, καὶ τὰς Λακώνων ἀσπίδας: καὶ τῶν ἐν Πύλῳ ποτὲ ἁλόντων, ἢ τὰ προπύλαια τῆς ἀκροπόλεως, καὶ τὸν Ολύμπιον ἀπὸ πλειόνων, ἢ μύριων ταλάντων. οὐκοῦν, ἦδ' ὃς ὁ Φίλιππος, ἐνταῦθα τὸν Ομηρον οὐκ ἂν ἔχοις ἐπαινεῖν. τὰ γὰρ τοῦ Αλκίνου βασίλεια ἀνδρὸς ἕλληνος καὶ νησιώτου διεκόσμησεν, οὐ μόνον κήποις, καὶ φυτοῖς, καὶ ὕδασιν, ὡς ἥδιστα, ἐνοικεῖν, ἀλλὰ καὶ ἀγάλμασι χρυσοῖς: ἔτι δὲ μᾶλλον τὴν τοῦ Μενελάου οἴκησιν, καὶ ταῦτα ἀπὸ στρατείας ἥκοντος. ἆρ' οὐ Περσικήν τινα καὶ Μηδικὴν ἐξηγεῖται, σχεδόν τε οὐ πολὺ ἀποδέουσαν Σεμιράμιδος, ἢ Δαρείου τὲ, καὶ Ξέρξου τῶν βασιλείων. φησὶ γοῦν:

ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν, ἠὲ σελήνης,
δῶμα καθ' ὑψερεφὲς Μενελάου κυδαλίμοιο:
χρυσοῦ τ' ἠλέκτρου τε, καὶ ἀργύρου, ἠδ' ἐλέφαντος.

τοῖς

τοῖς γὰρ Τρωϊκοῖς σκύλοις ἐχρῆν μᾶλλον λάμπειν αὐτὸ, ἢ τούτοις, κατά γε τὴν σὴν διάνοιαν. καὶ ὁ Αλέξανδρος ἐπισχὼν, οὐκ ἔγωγε, εἶπεν, τὸν Ομηρον, ἐάσειν μοι δοκῶ ἀναπολόγητον. ἴσως γὰρ πρὸς τὸν τοῦ Μενελάου τρόπον, ἐποίησε τὰ βασίλεια: ὅν φησι μόνον εἶναι τῶν Αχαιῶν, μαλθακὸν αἰχμητὴν. σχεδὸν γὰρ οὖν ἔοικεν οὐδὲ τῶν ἄλλων οὐδὲν μάτην ὁ ποιητὴς οὗτος λέγειν: ἀλλὰ καὶ στολὴν, καὶ οἴκησιν καὶ δίαιταν, πρὸς τὸ τῶν ἀνθρώπων ἦθος πολλάκις ἀπεικάζει. διὰ τοῦτο τὰ μὲν ἐν Φαίαξι βασίλεια, ἐκόσμησεν ἄλσει τε καὶ ὀπώραις ἡδίστοις, καὶ κρήναις ἀενάοις. ἔτι δὲ μᾶλλον τὸ τῆς Καλυψοῦς, ἅτε ὡραίας καὶ φιλανθρώπου θεᾶς, ἐν νήσῳ καθ' αὑτὴν ἀπῳκισμένης. τοῦτο μὲν γὰρ, εὐώδη διαφερόντως φησὶ τὴν νῆσον, τῶν ἡδίστων ἐν αὐτῇ θυμιαμάτων: τοῦτο δὲ σύσκιον δένδροις εὐθαλέσι, κύκλῳ δὲ τὰ περὶ τὸ σπήλαιον, ἄμπελον περιήκουσαν ὡραίαν, βότρυσι βριθομένην: ἔμπροσθεν δὲ, λειμῶνας

ἁπαλοὺς ἀναμὶξ σελίνων τε καὶ ἑτέρων: ἐν δὲ τῷ μέσῳ κρήνας τέτταρας, λαμπρου καὶ διαφανοῦς ὕδατος πάντοσε ἀπορρέοντος: ἄτε δὴ οὐκ ὄντος ἑτεροκλινοῦς, οὐδὲ ἀνίσου καὶ χωλείου. πάντα γὰρ ταῦτα ὑπερφυῶς ἐρωτικὰ καὶ ἡδέα, κατὰ τὸν τρόπον, οἶμαι, τῆς θεᾶς. τὴν δέ γε τοῦ Μενελάου, πολυχρήματον, πολύχρυσον αὐλὴν, καθάπερ, οἶμαι, τῶν Ασπαγῶν τινὸς βασιλέων. καὶ γὰρ ἦν οὐ μακρὰν τοῦ τε Ταντάλου καὶ Πέλοπος: ὅθεν οἶμαι καὶ τὸν χορὸν Εὐριπίδης εἰς τοῦτο αἰνιττόμενον πεποίηκεν ἐν τῇ προσῳδῇ τοῦ βασιλέως. Μενέλαος δὲ πολλῇ ἀβροσυνῇ δῆλος ὁρᾶται, τοῦ Ταντηλιδῶν ἐξ αἵματος ὤν. ἐμοὶ μὲν τήν γε τοῦ ὀδυσσέως οἴκησιν οὐδαμῶς τούτοις ὁμοίαν: ἀλλ' ὡς αὖ ἀσφαλοῦς ἀνδρὸς πεποίηκε ποιὴς αὐτὸ παρεσκευασμένου. λέγει γὰρ οὕτως:

Ἐξ ἑτέρων ἕτερ' ἐστὶν: ἐπήσκηται δέ οἱ αὐλὴ
Τοίχῳ καὶ θριγκοῖσι: θύραι δ' εὐεργέες εἰσὶ
Δικλίδες: οὐκ ἄν τις μιν ἀνὴρ ὑπερωπλίσαιτο.

δεῖ

δεῖ δὲ τοῦ ποιητοῦ, τὰ μὲν ὡς συμβουλεύοντος καὶ παραινοῦντος ἀποδέχεσθαι: τὰ δὲ ὡς ἐξηγουμένου μόνον: πολλὰ δὲ ὡς ὀνειδίζοντος καὶ καταγελῶντος.

Εοικε μὴν καὶ τὰ περὶ κοίτην, καὶ τὴν καθ' ἡμέραν δίαιταν, ἱκανὸς εἶναι παιδεύειν Ομηρος ἡρωϊκήν τινα καὶ βασιλικὴν τῷ ὄντι παίδευσιν: καὶ τὰς Λακωνικὰς ἑστιάσεις τῶν φιλιτίων δείπνων μαθόντα παρ' ἐκείνου Λυκοῦργον, νομοθετῆσαι τοῖς Σπαρτιάταις. ἐπεί τοι καὶ φασὶν αὐτὸν ἐπαινέτην Ομήρου γενέσθαι: καὶ πρῶτον ἀπὸ Κρήτης, ἢ τῆς Ιωνίας, κομίσαι τὴν ποίησιν εἰς τὴν ἑλλάδα. τὸν γοῦν Διομήδη, πάνυ στερεῶς κατέκλινεν, ἐπὶ βύρσης ἀγραύλου βόος, κύκλῳ περιστήσας τὰ δόρατα ὀρθὰ ἐπὶ σαυρωτῆρος: οὐ κόσμου χάριν, ἀλλ' ἕτοιμα λαβεῖν. εὐωχεῖ γε μὴν ἀπὸ κρεῶν τοὺς ἥρωας, καὶ τούτων βοείων, δηλονότι ἰσχύος, οὐχ ἡδονῆς ἕνεκεν. τὸν γοῦν Αγαμέμνονα, τὸν ξυμπάντων βασιλέα, καὶ πλουσιώτατον, βοῦν ἀεὶ φησὶ θύειν,

καὶ ἐπὶ τοῦτον καλεῖν ἀεὶ τοὺς ἀρίστους, καὶ τὸν Αἴαντα μετὰ τὴν νίκην φιλοφρονεῖται τοῖς νώτοις τοῦ βοὸς: ἰχθὺν δὲ οὐδέποτε γευομένους αὐτοὺς ἐποίησεν ἐνταῦθα ἐπὶ θαλάσσης στρατοπεδεύοντας, καὶ τὸν Ελλήσποντον, ὅπερ ἐστιν, ἰχθυόεντα ἑκάστοτε καλῶν. πάνυ γὰρ ὀρθῶς αὐτὸ τοῦτο ἀπεμνημόνευσεν ὁ Πλάτων. ἀλλ' οὐ δὲ οὗτ' μνηστῆρας ἰχθύσιν ἑστιᾷ, σφόδρα ἀσελγεῖς καὶ τρυφεροὺς ὄντας ἐν Ιθάκῃ, καὶ ταῦτα ἑστιωμένους. ὅτι γε μὴν οὐκ ἄλλως διέξεισι ταῦτα, φανερῶς αὐτὸς ἀποφαίνεται, ποίαν δέ τινα δεῖ τὴν τροφὴν εἶναι, καὶ πρὸς τί γιγνόμενον. ἣν γάρ ἐθέλει ἐπαινέσαι μενοεικέα δαῖτα φησὶ: τὴν οἵαντε παρέχειν μένος, τουτέστιν ἰσχὺν. ταῦτα δὲ λέγει, διδάσκων καὶ παραινῶν, ὡς δεῖ καὶ τραπέζης ἐπιμελεῖσθαι οὗτ' ἀγαθοὺς, ἐπεὶ τροφῆς γε παντοίας καὶ πολυτελείας, οὐκ ἐτύγχανεν ἄπειρος ὢν, ὥς τε οὗτ' περὰ ταῦτα νῦν ἐπτοημένους, Πέρσας καὶ Σύρους, καὶ τῶν Ελλήνων Ιταλιώτας, καὶ Ιωνας,

νας, μηδὲ ἐγγὺς ἐφικνεῖσθαι τῆς παρ' Ομήρου χορηγίας καὶ ἁβρότητος.

Τί δὲ, εἶπεν ὁ Φίλιππος, οὐ δίδωσιν ἐσθῆτα ὡς οἷόν τε καλλίστην τοῖς ἥρωσι; νὴ δία γε, ἦδ' ὅς ὁ Αλέξανδρος: οὐ μέν τοι γυναικείαν: οὐδὲ ποικίλην: ἀλλὰ πορφύρᾳ μόνον ἐκόσμησε τὸ Αγαμέμνονα, καὶ τὸν Οδυσσέα δὲ μιᾶ χλαίνῃ τῇ οἴκοθεν. οὐδὲ γὰρ οἴεται δεῖν Ομηρος τὸν ἡγεμόνα φαίνεσθαι ταπεινὸν, οὐδὲ τοῖς πολλοῖς καὶ ἰδιώταις ὅμοιον: ἀλλὰ καὶ στολῇ καὶ ὁπλίσει διαφέρειν παρὰ τοὺς ἄλλους ἐπὶ τὸ μεῖζον καὶ σεμνότερον, οὐ μὴν τρυφῶντά γε οὐδὲ παίζοντα. τὸν γοῦν κᾶρα τὸν χρυσῷ καλλωπιζόμενον εἰς τὸν πόλεμον, μάλα ὑβριστικῶς ἐλοιδόρησεν, εἰπὼν: ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδε κί' ἠΰτε κούρη, νήπιος. οὐδ' ἄρα οἱ τό γ' ἐπήρκεσε λυγρὸν ὄλεθρον: ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο ἐν ποταμῷ. χρυσὸν δ' Αχιλεὺς ἐκόμισσε δαΐφρων: καταγελῶν αὐτοῦ τῆς τρυφῆς ἅμα καὶ τῆς ἀφροσύνης,

ὅτι

ὅτι τοῖς πολεμίοις ἆθλα ἐκόμιζε τοῦ θανάτου σχεδὸν. οὔκουν φαίνεται χρυσοφορίας ἐπαινῶν ὁ Ομηρος, καὶ ταῦτα εἰς πόλεμον, ψελλίων τὲ καὶ στρεπτῶν: ἔτι δὲ χρυσῶν φαλάρων καὶ χαλινῶν: ὁποῖα τοὺς Πέρσας φασὶν ἐπιτηδεύειν. οὐ γὰρ ἔχουσιν ἐπιτιμητὴν Ομηρον τῶν πολεμικῶν. ἐκ δὲ τούτων τῶν ἐπιτηδευμάτων τούς τε ἄρχοντας πεποίηκεν ἀγαθοὺς, καὶ τὸ πλῆθος εὔτακτον. προΐασι γοῦν αὐτοὶ,

σιγῇ, δειδιότες σημάντορας:

οἱ δὲ βάρβαροι μετὰ πολλοῦ θορύβου καὶ ἀταξίας, ταῖς γεράνοις ὁμοίως: ὡς τοῦτο μάλιστα σωτήριον καὶ νικηφόρον ἐν τοῖς κινδύνοις, τὸ μὴ ἀδεεῖς εἶναι τῶν ἡγεμόνων τοῦ στρατιώτας. ὅσοι δ' ἂν ὦσιν ἄφοβοι τῶν σφετέρων ἀρχόντων, οὗτοι τάχιστα ἂν φοβοῖντο τοὺς πολεμίους. καὶ μέν τοι καὶ νικῶντας τοὺς Αχαιοὺς, καθ' ἡσυχίαν φησὶ στρατοπεδεύειν: παρὰ δὲ τοῖς τρωσὶν, ἐπειδὴ τὶ πλεονεκτεῖν ἔδοξαν, εὐθὺς εἶναι δι' ὅλης τῆς νυκτὸς, Αὐλῶν, συρίγγων τ' ἐνοπήν, ὁμαδόντ' ἀνθρώπων:

ὡς

ὡς καὶ τοῦτο ἱκανὸν σημεῖον ἀρετῆς ἢ κακίας: οἵ τινες ἂν ἐνκρατῶς τὰς εὐτυχίας, ἢ τὀυναντίον μεθ' ὕβρεως φέρωσιν. ἐμοὶ μὲν οὖν, ὦ πάτερ, ἱκανώτερος σωφρονιστὴς ὁμηρος, καὶ ὁ τούτῳ πειρώμενος τὸν νοῦν προσέχειν, εὐτυχέστατός τε καὶ ἄριστος βασιλεὺς. αὐτὸς γὰρ σαφῶς ὑποτίθεται δύο τὰς βασιλικωτάτας ἀρετὰς, τήν τε ἀνδρείαν καὶ δικαιοσύνην, ὅπου φησὶν, Αμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητὴς: ὡς τῶν ἄλλων ταύταις συνεπομένων. οὐ μέν τοι μόνον αὐτῶν οἶμαι δεῖν διαφέρειν τὸν βασιλέα, πρὸς τὸ ἀνδρεῖον καὶ σεμνὸν: ἀλλὰ μηδὲ τῶν ἄλλων ἀκούειν: μήτ' αὐλούντων, μήτε κιθαριζόντων, μήτε ᾀδόντων ἀνειμένα μέλη, καὶ τρυφερὰ: μηδὲ αὖ λόγων διεφθορότων κακοὺς ζήλους παραδέχεσθαι, πρὸς ἡδονὴν τῶν ἀμαθεστάτων γεγονότας: ἀλλὰ πάντα τὰ τοιαῦτα πρῶτον μὲν καὶ μάλιστα ἐκβαλεῖν ὡς πορρωτάτω, καὶ ἀποπέμψαι τῆς αὐτοῦ ψυχῆς: ἔπειτα τῆς βασιλευούσης πόλεως γέλωτάς

λωτάς τε ἀκρατεῖς, καὶ τοιούτου γέλωτος ποιητὰς, μετὰ σκωμμάτων, ἐμμέτρους τὲ καὶ ἀμέτρους, ὀρχήσεις πρὸς τούτοις καταλύειν ἀσελγεῖς, καὶ σχήματα ἑταιρικὰ γυναικῶν ἐν ὀρχήσεσιν ἀκολάστοις, αὐλημάτων τὲ ὀξεῖς καὶ παρανόμους ῥυθμοὺς, καὶ κατεαγότα μέλη ἀμούσοις καμπαῖς, καὶ πολυφώνων ποικιλίας: μόνην δὲ ὠδὴν μὲν ᾄσεται, καὶ παραδέξεται, τὴν τῷ ἐνυαλίῳ μάλα πρέπουσαν, ἰσχυρὰν, καὶ διάτορον, οὐχ ἡδονὴν, οὐδὲ ῥαθυμίαν φέρουσαν τοῖς ἀκούουσιν: ἀλλ' ἀμήχανον φόβον καὶ θόρυβον: οἵαν ὅτε ἄρης αὐτὸς ἤγγειλεν, ὀξὺ κατ' ἀκροτάτης πόλεως Τρώεσσι κελεύων: ὅτε Αχιλλεὺς φθεγξάμενος μόνον πρὶν ὀφθῆναι, τροπὴν ἐποίησε τῶν Τρώων: καὶ δώδεκα ἀνδράσιν αἴτιος ὑπῆρξεν ὀλέθρου περὶ τοῖς αὐτῶν ἅρμασι καὶ ὅπλοις, καὶ τὴν ἐπὶ ταύτῃ ποιηθεῖσαν ὑπὸ τῶν μουσῶν τὴν ἐπινίκιον: οἵαν ἐκέλευεν Αχιλλεὺς τοῖς Αχαιοῖς τὸν παιᾶνα λέγειν ἅμα τῇ τοῦ Εκτορος ἀγωγῇ, πρὸς τὰς ναῦς αὐτὸς ἐξάρχων

Νῦν

Νῦν δ' ἄγ' ἀείδοντες παιηόνα κοῦροι ἀχαιῶν Νηυσὶν ἐπί γλαφυρῇσι νεώμεθα: τὸν δέ τ' ἐῶμεν: Ηράμεθα μέγα κῦδος, ἐπέφνομεν Εκτορα δῖον, ᾧ Τρῶες κατ' ἄστυ θεῷ ὡς εὐχετόωντο.

ἔτι δὲ οἶμαι τὴν παρακλητικὴν, οἷα τῶν Λακωνικῶν ἐμβατηρίων, μάλα πρέπουσαν τῇ Λυκούργου πολιτείᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ἐκείνου. ἄγε τ' ὦ Σπάρτας εὐάνδρου κοῦροι πρώτον πολιῆται, λαίᾳ μὲν ἴτυν προβάλλεσθε: δόρυ δ' εὐτόλμας βάλλοντες, μὴ φειδόμενοι τῆς ζωᾶς. οὐ γὰρ πάτριον τᾶς Σπάρτας. χόρευμα δὲ καὶ χορὸς ἀνάλογον τούτοις, οὐ σφαλλομένους, οὐδὲ ἀκρατεῖς, ἀλλὰ ὡς οἷόν τε ἰσχυροὺς καὶ σώφρονας ἐπάγειν ἐν καθεστῶτι ῥυθμῷ: τὴν γιγνομένην τοῖς θεοῖς ἀπαρχὴν ἅμα καὶ μελέτην τῶν πολεμικῶν, ὄρχησίν γε μὴν τὴν ἔνοπλιον: ἧς φησιν ὁ ποιητὴς καὶ τὸν Μηριόνην ἔμπειρον εἶναι. τῶν γὰρ Τρώων τινὰ πεποίηκε λέγοντα:

Μηριόνη. τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα,
ἔγχος ἐμὸν κατάπαυσε διαμεπερὲς: εἰ σ' ἔβαλόν περ:

ἢ σὺ

ἢ σὺ οἴει ἄλλην τινὰ λέγειν ἐπίστασθαι τὸν τοῦ Μόλου υἱὸν, καὶ ἐξαριθμούμενον ἐν τοῖς ἀρίστοις τῶν Αχαιῶν, ἢ τὴν ἐνόπλιον τὴν κουρητικὴν, ἥπερ ἦν ἐπιχώριος τοῖς Κρησὶ, τὴν ὀξεῖαν καὶ ἐλαφρὰν κίνησιν, πρὸς τὸ διακρίναι καὶ φυλάξασθαι ῥᾳδίως τὸ βέλος. τούτοις γεμὴν ξυνέπεται, μηδὲ εὐχὰς εὔχεσθαι τὸν βασιλέα τοῖς ἄλλοις ὁμοίας. μηδὲ οὖν τοῦ θεοὺς καλεῖν οὕτως εὐχόμενον: ὥσπερ ὁ Ιώνων ποιητὴς Ανακρέων: ὦ ἄναξ, ὦ δαμάλης ἔρως, καὶ νύμφαι κυανώπιδες, πορφυρέη τε Αφροδίτη συμπαίζουσιν: ἐπιστρέφεται δὲ ὑψηλῶν ὀρέων κορυφὰς, γουνοῦμαί σε. σὺ δ' εὐμενὴς ἔλθ' ἡμῖν κεχαρισμένης δ' εὐχωλῆς ἐπακούειν. κλεοβούλῳ δ' ἀγαθὸς γένου σύμβουλος. τὸν ἐμὸν δὲ ἔρωτα. ὦ δ' οὐ νῦν σε δέχεσθαι. ἢ νὴ Δία τῶν Αττικῶν σκολιῶντε καὶ εὐχὰς ἐπαίνων, οὐ βασιλεῦσι πρεπούσας, ἀλλὰ δημόταις καὶ φράτορσιν ἀγαθοῖς καὶ σφόδρα ἀνειμένοις. εἶθε λύρα καλὴ γενοίμαν ἐλεφαντίας: καί με καλοὶ παῖδες φορέοιεν Διονύσιον ἐς χορὸν: εἶθ' ἀ-

ἄθ' ἄπυρον καλὸν γυαίμαν μέγα χρυσίον: καὶ
με γυνὴ καλὴ φορέοι. πολὺ δὲ μᾶλλον ὡς
Ομήρῳ πεποίηκεν εὐχόμενον τὸν βασιλέα
τῶν ἁπάντων ἑλλήνων: Ξεῦ κύδιστε, μέγι-
στε, κελαινεφὲς, αἰθέρι ναίων: Μὴ πρὶν
ἁπ' ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν,
Πρίν με καταπρῆναι βαλέειν Πριάμοιο μέ-
λαθρον Αἰθαλόεν: πρῆσαι δὲ πυρὸς δηί-
οιο θύρετρα: Ἑκτόρεον δὲ χιτῶνα, περὶ στή-
θεσσι δαΐξαι Χαλκῷ ῥωγαλέον: πολέες
δ' ἀμφ' αὐτὸν ἑταῖροι Πρηνέες ἐν κονίη-
σιν ὀδὰξ λαζοίατο γαῖαν.

πολλὰ γὰρ καὶ ἄλλα ἔχοι τις ἂν εἰπεῖν παρ'
Ομήρῳ παιδεύματα καὶ διδάγματα ἀνδρεῖα καὶ
βασιλικὰ, ἅτε ὢν ἴσως μακρότερον ἢ νῦν
ἐπεξιέναι: πλὴν ὅτι γε τῶν αὐτοῦ γνώμων.
ἅπασιν ἀποδείκνυται σαφῶς, ὅτι πάντα ἄρι-
στον οἴεται δεῖν τὸν βασιλέα εἶναι: μάλιστα δὲ
ἐπὶ τοῦ Αγαμέμνονος: ὅτε τὸ πρῶτον παρα-
τάττει τὴν φαλαγγα, καὶ οὐ τοὺς ἡγεμό-
νας ξύμπαντας καλεῖ λέγει, καὶ πληθος τῶν

νεῶν. ἐκεῖ γὰρ οὐδὲ ἅμιλλαν τῶν ἄλλων οὐδενὶ καταλέλοιπεν ἡρώων πρὸς αὐτὸν: ἀλλ' ὅσον ταῦρος ἀγέλης ὑπερφέρει, κατὰ ῥώμην καὶ μέγεθος, τοσοῦτον διαφέρειν φησὶ τὸν βασιλέα, οὕτωσὶ λέγων: Ηὔτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων Ταῦρος. ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι: Τοῖον ἄρ' ἀτρείδην θῆκεν ζεὺς ἤματι κείνῳ, ἐκπρεπέ' ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσι.

τοῦτο δὲ οὐχ ἁπλῶς εἰρηκέναι μοι δοκῶν τὴν ἰσχὺν αὐτοῦ μόνον ἐπαινῶν καὶ ἐπιδεῖξαι βουλόμενος, οὕτω μὲν γὰρ δὴ καὶ λέοντι παραβαλὼν, καλῶς αὐτὸν ἐδόκει ἀφομοιῶσαι: τὸ δὲ ἥμερον τῆς φύσεως ἐνδεικνύμενος, καὶ τὴν ὑπὲρ τῶν ἀρχομένων προμήθειαν. ὁ γὰρ ταῦρος, οὐκ ἔτι τῶν γενναίων μόνοι ζώων, οὐδὲ αὐτοῦ χάριν χρῆται τῇ ἀλκῇ, καθάπερ ὅ, τε λέων καὶ σῦς, οἵ, τε ἀετοὶ διώκοντες τὰ λοιπὰ ζῶα, καὶ κρείττους γινόμενοι, τροφῆς ἕνεκα τῆς αὐτῶν. διὸ δὴ καὶ μᾶλλον ἄν τις αὐτοὺς φαίη τυραννίδος παράδειγμα ἢ βασιλείας γεγονέναι.

νέναι. ὁ δὲ Ζεὺς σαφῶς, ἐμοὶ δοκεῖν, περὶ βασιλέως καὶ βασιλέως εἰκόνα πεποίηται: τροφήν τε δὴ ἑτοίμην καὶ ῥᾳδίαν, ἡσυχή τε νεμόμενος: ὥστε μηδένα δεῖν βιάζεσθαι, μηδὲ πολεμονεκτεῖν ζωύτης ἕνεκεν: ἀλλ' ὥσπερ τοῖς ὀλβίοις βασιλεῦσιν ἀνελλιπῆ καὶ ἄφθονα ὑπάρχει τὰ τῆς ἀναγκαίου κλήσεως. βασιλεύει δὲ καὶ ἄρχει τῶν ὁμοφύλων, μετ' εὐνοίας, ὡς αὖ ἔπος τὶς, καὶ κηδεμονίας: τοῦτο μὲν ἐξηγούμενος νομῆς: τοῦτο δὲ θηρίου φανέντος ἐκ φύγων, ἀλλὰ πάσης τῆς ἀγέλης προμαχόμενος, καὶ τοῖς ἀθενέσι βοηθῶν καὶ προμηθούμενος ζώειν τὸ πλῆθος ἀπὸ τῶν χαλεπῶν καὶ ἀγρίων: ὥσπερ καὶ ἡ ἄρχουσα, καὶ βασιλέα τῆς ὕλης, καὶ τῆς μεγίστης ἐν ἀνθρώποις οὐκ ἀνάξιον τιμῆς: ἐνίοτε γε μὲν ἄλλης ἀγέλης ἐπιφανείσης, ἀγωνίζεται πρὸς τὸν ἐκείνης ἡγεμόνα, νίκης ἕνεκα, ὡς κρείττω μὲν αὐτὸν φανῆναι, κρείττω ἢ τὸν αὐτοῦ ἀγέλην. καὶ μὴν τό γε ἐν ἀνθρώποις, μὴ πολεμεῖν, ἀλλὰ τὸ ἀφρόνων ζώων ἡγεμονικώτατον καὶ ἄριστον, πεφυκέναι,

ὅμως προσίεσθαι τὴν τοῦ κρείττονος ἡγεμονίαν, ἰσχύϊ μὲν καὶ θυμῷ καὶ βίᾳ, μηδενὸς ἡττώμενον, μηδὲ ὑπείκοντα: λογισμῷ δὲ καὶ φρονήσει ἑκόντα ὑποταττόμενον, πῶς οὐχὶ καὶ τοῦτο θείη τὶς ἂν, παίδευμα καὶ δόγμα βασιλικὸν τῶν σωφρόνων βασιλέων, τὸ δεῖν ἀνθρώπων μὲν τῶν ὁμοίων κρείττονα φαινόμενον, ἄρχειν δικαίως, καὶ κατὰ φύσιν ἔχοντα τὴν ἡγεμονίαν, καὶ τὸ μὲν πλῆθος τῶν ὑπηκόων σώζειν, προβουλεύοντα καὶ προπολεμοῦντα, ὅταν δέῃ, καὶ φυλάττοντα ἀπὸ τῶν ἀγρίων καὶ παρανόμων τυράννων: πρὸς δὲ τοὺς ἄλλων βασιλέας, οἵ τινες ἄρα εἶεν, ἁμιλλᾶσθαι περὶ τῆς ἀρετῆς, καὶ ζητεῖν, εἰ δυνατὰ εἴη πάντων ἐπ' ὠφελείᾳ τῶν ὅποι ποτὲ ἀνθρώπων κρατεῖν: θεοῖς γε μὴν τοῖς ἀμείνοσιν ἕπεσθαι, καθάπερ, οἶμαι, νομεῦσιν ἀγαθοῖς, καὶ τὴν κρείττω καὶ τὴν μακαριωτέραν φύσιν προτιμᾶν, δεσπότας αὐτοῦ καὶ ἄρχοντας νομίζοντα ἐκείνους, καὶ τοῦ μεγίστου καὶ πρώτου βασιλέως θεοῦ, κτῆμα ἀποφαίνοντα, πρῶτον μὲν καὶ τεμιώτατον αὐτὸν, ἔπειτα τοὺς

ἄλλους

ἄλλως οὐ ὑπ' αὐτῷ πεζαγμένους. καὶ γὰρ
δὴ ὥσπερ οἱ ζώφρονες νομῆς, ἐπειδὰν χαλε-
πὸς καὶ ἄγριος ζωῦρος γιγνόμενος ἀρχὴ ἀσελγῶς
παρὰ φύσιν τῆς μὲν αὐτοῦ καζαφρονῶν ἀ-
γέλης, καὶ λυμαινόμενος, τὰς ἢ ἔξωθεν ὑπι-
βουλεύοντας ὑποχειρῶν, καὶ προβαλλόμενος
τὸ ἀδυώατον πληθος: μηδενὸς δὲ χαλεποῦ
παρόντος, ὑβρίζων καὶ θρασυνόμενος, τοῦτο
μὲν ὀξὺ καὶ ἀπειληκὸν μυκώμενος, τοῦτο δὲ
ὀρθοῖς κέρασι παίων τὸν οὐκ ἀνθιστάμενον,
ὑπιδεικνύμενος ἢ πῶ ἰσχὺν ἐν τοῖς ἵπποσι καὶ
τοῖς ἀμαχομένοις: τὸ δὲ τῶν βοῶν πληθος οὐκ
ἐῶν νέμεσθαι καθ' ἡσυχίαν δι' ἔκπληξιν καὶ
φόβον: τότε τοῦτον οἱ δεσπόται καὶ βουκόλοι με-
τέσηοαν καὶ ἠφάνισαν, ὡς οὐκ ὑπιτήδειον,
οὐδὲ ζυμφέρονζα ἡγεμόνα τῆς ἀγέλης: τὸν δὲ
πρᾶον μὲν ταῖς ἐπομέναις βουσὶν, εὐψυχον ἢ
καὶ ἄφοβον πρὸς τὰ θηρία, σεμνὸν δὲ καὶ
μεγαλοπρεπῆ, καὶ δυνατὸν φυλάτθειν, καὶ προ-
νοεῖσθαι τῆς ἀγέλης, τοῖς δέ γε νομεῦσιν εἰκόνζα
καὶ πειθόμενον, ἕως μέχρι γήρως ὑστάτου: καὶ

ἤδη βαρύτερος τὸ σῶμα γένηται. ὁμοίως δὲ καὶ οἱ θεοὶ, καὶ ὁ δὴ μέγας βασιλεὺς βασιλέων, ἅτε κηδεμὼν καὶ πατὴρ κοινὸς ἀνθρώπων καὶ θεῶν ζεὺς, ὃς ἂν ἀνθρώπων γένηται βίαιος καὶ ἄδικος καὶ παράνομος ἄρχων, τὴν ἰσχὺν οὐ τοῖς πολεμίοις ἐνδεικνύμενος, ἀλλὰ τοῖς ὑπηκόοις καὶ τοῖς φίλοις, ἄπληστος μὲν ἡδονῶν, ἄπληστος δὲ χρημάτων, ὑπονοῆσαι ταχὺς, ἀμείλικτος ὀργισθεὶς, ὀξύτερος διαβολῆς, ἀπειθὴς λόγοις, πανοῦργος, ἐπίβουλος, ταπεινὸς, αὐθάδης, κακοὺς αὔξων, τοῖς κρείττοσι φθονῶν, παιδείας ἀσύνετος, φίλον οὐδένα νομίζων, οὐδ' ἔχων, ὡς ἔλαττον αὐτοῦ τὸ κτῆμα, ἐκεῖνον ἐκ ποδῶν ἐποιήσατο καὶ μετέστησεν: ὡς οὐκ ἄξιον ὄντα βασιλεύειν, οὐδὲ κοινωνεῖν τῆς αὐτοῦ τιμῆς καὶ ἐπωνυμίας, μετά τε αἰσχύνης καὶ προπηλακισμοῦ, καθάπερ, οἶμαι, Φαλαρίντε, καὶ Απολλόδωρον, καὶ πολλοὺς ἄλλους τῶν ὁμοίων: τὸν δέ γε ἀνδρεῖον καὶ φιλάνθρωπον, καὶ τοῖς ὑπηκόοις εὔνουν, καὶ τιμῶντα μὲν τὴν ἀρετὴν, καὶ συναγωνιῶντα, μήτι τῶν

ἀγα-

ἀγαθῶν δόξῃ φαυλότερος, τοῦ δὲ ἀδίκους μετανοεῖν ἀναγκάζοντα, τοῖς δὲ ἀσθενέσιν ἀρήγοντα, τῆς ἀρετῆς ἀγάμενος, ὡς τὸ πολὺ μὲν, ἄγει πρὸς γῆρας: καθάπερ ἀκούομεν Κῦρόν τε καὶ Δηϊόκην τὴν Μῆδον, καὶ Αγάθυρον τὸν Σκύθην, καὶ Λεύκωνα, καὶ πολλοὺς τῶν Λακωνικῶν βασιλέων, καὶ τῶν ἐν Αἰγύπτῳ πρότερόν τινας. ἐὰν δὲ τὸ τῆς εἱμαρμένης ἀναγκαῖον ἐπείγῃ πρὸ τοῦ γήρως, ἀλλ' οὖν μνήμης τε ἀγαθῆς καὶ παρὰ πᾶσιν εὐφημίας εἰς τὴν ἀεὶ χρόνον ἠξίωσαν: καὶ καθάπερ, εἶπεν ὁ Αλέξανδρος, τὴν ἡμέτερον πρόγονον, τὴν νομισθέντα τοῦ Διὸς διὰ τὴν ἀρετὴν Ηρακλέα. ταῦτα δὲ ἀκούσας ὁ Φίλιππος ἡσθεὶς, οὐ μάτην εἶπεν, Αλέξανδρε, περὶ πολλοῦ ποιούμεθα τὴν Αριστοτέλη, καὶ τὴν πατρίδα αὐτῷ συνεχωρήσαμεν ἀνακτίζειν, Στάγειραν τῆς Ολυνθίας οὖσαν. ὁ γὰρ ἀνὴρ, ἄξιος πολλῶν καὶ μεγάλων δωρεῶν, εἰ τοιαῦτά σε διδάσκει περί τε ἀρχῆς καὶ βασιλείας, εἴτε Ομηρον ἐξηγούμενος, εἴτε καὶ ἄλλον τρόπον.

ΔΙΩΝΟΣ ΧΡΥΣΟΣΤΟΜΟΥ
περὶ βασιλείας, λόγος γ.

Σωκράτης Αθήνησι, πρεσβύτης ἀνὴρ καὶ πένης, ὃν καὶ σὺ γινώσκεις ἀκοῇ, πρὸ πάνυ πολλῶν ἐτῶν γενόμενον, πυθομένου τινὸς, εἰ εὐδαίμονα νομίζοι τὸν Περσῶν βασιλέα: τυχὸν, εἶπεν, εὐδαίμων: οὐκ ἔφη δὲ αὐτὸς εἰδέναι, διὰ τὸ μὴ συγγενέσθαι αὐτῷ, μηδὲ γινώσκειν, ὁποῖός ἐστι τὴν διάνοιαν: ὡς οὐκ ἀλλαχόθεν, οἶμαι, γιγνόμενον τὸ εὐδαιμονεῖν, ἀπὸ χρυσωμάτων, ἢ πόλεων, ἢ χώρας, ἢ ἄλλων ἀνθρώπων: ἑκάστῳ δὲ παρά τε ἑαυτοῦ καὶ τῆς αὐτοῦ διανοίας. ὁ μὲν οὖν Σωκράτης ὅτι ἐτύγχανεν ἄπειρος ὢν τοῦ Πέρσου τῆς ψυχῆς, ἄπειρος ἡγεῖτο εἶναι καὶ τῆς εὐδαιμονίας αὐτοῦ. ἐγὼ δὲ, ὦ γενναῖε αὐτοκράτορ, παραγέγονά σοι, καὶ τυχὸν οὐδενὸς ἧττον ἔμπειρός εἰμι τῆς σῆς φύσεως, ὅτι τυγχάνεις χαίρων ἀληθείᾳ, καὶ παῤῥησίᾳ μᾶλλον, ἢ θωπείᾳ καὶ ἀπάτῃ, αὐτί-

αὐτίκα τὰς μὲν ἀλόγους ἡδονὰς ὑποπτεύεις, καθάπερ ἀνθρώπους κόλακας, τοῦ δὲ πόνους ὑπομένεις ἐλέγχους ὑπολαμβάνων εἶναι τῆς ἀρετῆς. ἐπεὶ δὲ ὁρῶ σε, αὐτοκράτορ, ἐντυγχάνοντα τοῖς παλαιοῖς ἀνδράσι, καὶ συνιέντα φρονίμων καὶ ἀκριβῶν λόγων: φημί σε σαφῶς ἄνδρα εἶναι μακαρίων τὸν μεγίστην μὲν ἔχοντα δύναμιν μετὰ τοῦ θεοὺς, κάλλιστα δὲ τῷ δύνασθαι χρώμενον. ᾧ γὰρ ἐξὸν ἁπάντων μὲν ἀπολαύοντα τῶν ἡδέων, μηδενὸς δὲ πειρᾶσθαι τῶν ἐπιπόνων, ῥαθυμοῦντα δὲ ὡς οἷόν τε βιοτεύειν, συνελόντα δὲ εἰπεῖν, πράττοντα ὅτι βούλεται, οὐ μόνον κωλύοντος οὐδενὸς ὅτι βούλεται, ἀλλὰ καὶ ἐπαινούντων ἁπάντων: οὗτος ὁ ἀνὴρ, ὅταν ᾖ νομιμώτερος μὲν δικαστὴς, τῶν κατὰ κλῆρον δικαζόντων, ἐπιεικέστερος δὲ βασιλεὺς τῶν ὑπευθύνων ἐν ταῖς πόλεσιν ἀρχόντων, δικαιότερος δὲ στρατηγὸς τῶν ἑπομένων στρατιωτῶν, φιλοπονώτερος δὲ ἐν ἅπασι τοῖς ἔργοις, τῶν ὑπ' ἀνάγκης πονούντων, ἔλαττον δὲ βουλόμενος τρυφᾶν,

φαῦ, τῶν μηδεμιᾶς ἐυπορούντων τροφῆς. ἐυνούστερος δὲ τοῖς ὑπηκόοις τῶν φιλοτέκνων πατέρων, φοβερώτερος δὲ τοῖς πολεμίοις τῶν ἀνικήτων καὶ ἀμάχων θεῶν: πῶς οὐκ ἂν εἴποι τις τοῦδε τοῦ ἀνδρὸς ἀγαθὸν εἶναι τὸν δαίμονα, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι; τῶν μὲν γὰρ πολλῶν ἀνθρώπων καὶ ἰδιωτῶν, μικρᾶν τινα ἀρχὴν ἐχόντων, ὀλίγος ὁ δαίμων, καὶ μόνου τοῦ ἔχοντος: ὅτῳ δὲ παμπληθεῖς μὲν ὑπακούουσι πόλεις, πάμπολλα δὲ ἔθνη κυβερνᾶται, διὰ τῆς ἐκείνου γνώμης, ἀναρίθμητα δὲ φῦλα ἀνθρώπων, καὶ μικτὰ ἀνθρώποις, ἀποβλέπει πρὸς μίαν φρόνησιν: πάντων δὲ οὕτως ἀνθρώπων γίνεται ζωὴ καὶ φύλαξ, ἂν περ ᾖ τοιοῦτος. τοῦ γὰρ πάντων ἄρχοντος καὶ κρατοῦντος, ἡ μὲν φρόνησις ἱκανὴ καὶ σοῦ ἄφρονας ὠφελεῖν. βουλεύεται δὲ ὁμοίως ὑπὲρ πάντων. ἡ δὲ σωφροσύνη καὶ σοῦ ἀνθλαστέρους σωφρονεστέρους ποιεῖ. ἔφορᾷ γὰρ

ξᾷ γὰρ ὁμοίως ἅπαντα. ἡ δὲ δικαιοσύνη, καὶ τοῖς ἀδίκοις αὐτῆς μεταδίδωσιν. ἡ δὲ ἀνδρεία καὶ δοῦ ἧττον εὐψύχους, οὐ μόνον σώζειν, ἀλλὰ καὶ θαρραλεωτέρους ποιεῖν δύναται. οὔτε γὰρ δειλὸς οὕτως ἄγαν εὐδείς, ὥστε μὴ θαρρεῖν ἐπόμενος, μεθ' οὗ νικᾶν ἕτοιμον: οὔτε αὖπὶ τοσοῦτον ἀνειμένος, ὥς τὸ ῥαθυμεῖν ποιεῖσθαι ὁρῶν, ᾧ μόνῳ τὸ ποιεῖσθαι ἔνειμεν ὁ θεὸς: οὐδὲ αὖ σφόδρα οὕτως ἀναίσχυντος, ὥστε παρὼν, ᾧ τὸ πονεῖν μὴ ἀναγκαῖον, τούτῳ μὴ συμπονεῖν ἐθέλειν. δοκεῖ μοι καὶ Ὅμηρος αὐτὸ τοῦτο φράζειν. μνησθεὶς γὰρ τοῦ χρηστοῦ βασιλέως, αὖπὶ πᾶσιν εἴρηκεν:

ἀρεταῖσι δὲ λαοὶ ἐπὶ αὐτοῦ.

ὁ γὰρ τοιοῦτος βασιλεὺς, τοῖς μὲν ἄλλοις καλὸν κτῆμα τὴν ἀρετὴν νενόμικεν: αὐτῷ δὲ ἧ ἀναγκαῖον. τίνι μὲν γὰρ δεῖ πλείονος φρονήσεως, ἢ τῷ βαλλομένῳ πρὸς μείζονας; τίνι δὲ ἀκριβεστέρας δικαιοσύνης, ἢ τῷ μείζονι τῶν νόμων; τίνι δὲ ἀνδρείας ἰσχυροτέρας, ἢ

ὑφ'

ὑφ' οὗ πάντα σώζεται; τίνι δὲ σωφροσύνης ἐγκρατεστέρας, ἢ ὅτῳ πάντα ἔξεστι; τίνα δὲ μᾶλλον εὐφρανεῖ τὰ ἔργα τῆς ἀρετῆς, ἢ τὸν σύμπαντας ἀνθρώπους θεατὰς καὶ μάρτυρας ἔχοντα τῆς αὐτοῦ ψυχῆς; ὥς τε μήτε πράξαντι οἷόν τε λαθεῖν, οὐ μᾶλλον ἢ τῷ ἡλίῳ πορεύεσθαι διὰ σκότους. πάντα γὰρ τὰ ἄλλα ἀναφαίνων, πρῶτον ἑαυτὸν ἐπιδείκνυσι. καὶ λέγω ταῦτα, οὐκ ἀγνοῶν, ὅτι τὰ ῥηθέντα νῦν ὑπ' ἐμοῦ, πλείονι χρόνῳ ἀνάγκη λέγεσθαι: ἀλλ' οὐκ ἔστι δέος, μήποτε ἐγὼ φανῶ τὶ κολακείᾳ λέγων. οὐ γὰρ ὀλίγην, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ δέδωκα βάσανον τῆς ἐλευθερίας. εἰ δὲ ἐγὼ πρότερον μὲν, ὅτε πᾶσιν ἀναγκαῖον ἐδόκει ψεύδεσθαι διὰ φόβον, μόνος ἀληθεύειν ἐτόλμων, καὶ ταῦτα κινδυνεύων ὑπὲρ τῆς ψυχῆς, νῦν δὲ, ὅτε πᾶσιν ἔξεστι τἀληθῆ λέγειν, ψεύδομαι, μηδενὸς κινδύνου παρεστῶτος, οὐκ ἂν εἰδείην, οὔτε παῤῥησίας οὔτε κολακείας καιρὸν. καὶ τοίνυν πάντες οἱ πράττοντες ὁ, τιοῦν ἑκόντες, ἢ χρημάτων ἕνεκα πράτ-

πράττωσιν, ἢ δόξης, ἢ δι' ἡδονήν τινα ἄλλην ἢ λοιπὸν, οἶμαι, δι' ἀρετὴν, καὶ τὸ καλὸν αὐτὸ τιμῶντες. ἐγὼ δὲ χρήματα μὲν λαβεῖν παρ' οὐδενὸς πώποτε ἠξίωσα, πολλῶν δοῦναι βουλομένων: τῶν ἐμαυτοῦ δὲ ὀλίγων ὑπαρχόντων, οὐ μόνον μεταδιδοὺς ἑτέροις, ἀλλὰ καὶ ῥίπτων φανήσομαι πολλάκις. ἡδονὴν δὲ ποίαν ἂν θηρῴμην, ὁπόταν καὶ τῶν κολάκων καὶ φανερῶς πεποιημένοι τέχνην ταύτην, ὁμολογοῦσιν ἁπάντων ἀηδέστερον τὸ κολακεύειν; πῶς γὰρ ἡδὺ, ἄλλον ἀδίκως ἐπαινεῖν, ὃς ἂν ἀγαποῖ δικαίως ψέγεσθαι, καὶ μὴν οὐδὲ ἔνδοξον, οὐδὲ καλὸν εἶναι δοκεῖ τὸ κολακεύειν, ἵνα τιμῆς ἕνεκεν, ἢ δι' ἀρετὴν τοῦτο ἐπιτηδεύῃ; πασῶν γὰρ, ὡς ἔπος εἰπεῖν, τῶν κακιῶν αἰσχίστην ἂν εὕροι τὶς τὴν κολακείαν. πρῶτον μὲν γὰρ τὸ καλλιστον καὶ δικαιότατον, διαφθείρει τὸν ἔπαινον, ὥς τε μηκέτι δοκεῖν πιστὸν, μηδὲ ἀληθὲς γινόμενον: καὶ τόγε πάντων δεινότατον τὰ τῆς ἀρετῆς ἔπαθλα τῇ κακίᾳ διδόασιν. ὥς τε πολὺ χεῖρον δρῶσι τῶν διαφθειρόντων τὸ νόμισμα. οἱ μὲν γὰρ ὑπο-

ὕποπτον αὐτὸ ποιοῦσιν. οἱ δὲ τὴν ἀρετὴν ἄπιστον ἐργαζόνται. ἔπειτα δὴ, οἶμαι, ποτὲ μὲν ὁ πονηρὸς ἀνόητος λέγεται, καὶ ἔστιν ὄντως: τῷ δὲ ἄφρονι, πάντας ὑπερβέβληκεν ὁ κόλαξ. μόνος γὰρ τῶν ἀφανιζόντων τὴν ἀλήθειαν πρὸς ἐκείνους θαῤῥεῖ τὰ ψευδῆ λέγειν, οὗτος μάλιστα εἰδότας ὅτι ψεύδεται. τίς γὰρ ἄπειρός ἐστι τῶν ἑαυτοῦ πραγμάτων; ἢ τίς ἠλίθιος οὕτως, ὅς τις οὐκ οἶδε, πότερον πόνοις ἢ ῥαθυμίᾳ χαίρει; καὶ πότερον ἥδεται πλέον ἔχων εἶναι, ἢ τὰ δίκαια πράττων; καὶ πότερον ἡδονῶν ἥττων ἐστὶν, ἢ τῶν καλῶν πράξεων ἐραστὴς; καὶ τοίνυν ὃ μάλιστα οἴεται χαρίζεσθαι τοῖς ἐπαινουμένοις, ἐμοὶ δοκεῖ, τοῦτο καὶ μάλιστα ἀποτυγχάνειν: τοὐναντίον γὰρ ἀπεχθάνεσθαι μᾶλλον, ἢ μὴ χαρίζεσθαι τῷ μὴ τελέως κούφῳ. αὐτίκα ὁ τὸν πένητα μακαρίζων, ὡς πλούσιον, αὐτὸς μὲν ψεύδεται, τῷ δὲ μακαριζομένῳ τὴν πενίαν ὀνειδίζει: πάλιν ὁ τὸν αἴσχιστον ὡς καλὸν ἐπαινῶν, ἀλλ' ὅτι ἢ προφέρει το αἶσχος αὐτῷ; ἢ ὁ τὴν ἀνάπηρον ὁλόκληρον λέγων εἶναι,

πῶς

πῶς αὖ χαρίζοιτο ὑπομιμνήσκων τῆς ἀτυχίας; ὁ δὲ αὖ τὸν ἀνόητον, ὡς φρόνιμον, ὑμνῶν, ἵνος αὖ τυχὸν ἀπαίνων εἴη πιθανώτερος, ἀφ' ὧν ἄνοιαν ἔ ἀκόσμος, ἢ τοσοῦτον γε μείζονα ἐργάζεται βλάβην. ἀναπείθει γὰρ τὸ ὑπὲρ ἑαυτὸ βουλεύεσθαι, καὶ μὴ τοῖς φρονίμοις ἐπιτρέπειν. ὁ μὲν γὰρ τὸν δειλὸν, ὡς ἀνδρεῖον θαυμάζων, ἵνος δικαιότατα χρῆται τῇ ἀνοίᾳ τοῦ κολακευομένου. τάχιστα γὰρ αὖ, οἶμαι, ἀπόλοιτο πειθόμενος αὐτῷ, καὶ τῆς ἀνδρείας τὰ ἔργα ἐπιχειρῶν. καθόλου γὰρ φοβηθεὶς μὲν ὁ κόλαξ, ὑποκαταγινώσκεται μόνον, ἀλλὰ καὶ μισεῖται. δοκεῖ γὰρ καταγελῶν λέγειν. πείσας δ' ὡς ἀληθῶς λέγει, οὐ μεγάλης ζημίας τυγχάνει κέρδους. τί γὰρ καὶ δοκεῖ χαρίζεσθαι πάλη θῆ λέγων; πολὺ δὲ μᾶλλον πονηρότερός ἐστι τῶν ψευδομένων μαρτύρων. οἱ μὲν γὰρ οὐ διαφθείρουσι τὸν δικαστὴν: ἀλλὰ μόνον ἐξαπατῶσιν. ὁ δὲ κολακεύων, ἅμα δικάζειν τε ἐπαίνῳ. ἵνα δὲ μήτε ἐγὼ κολακείας αἰτίαν ἔχω τοῖς θέλουσι διαβάλλειν, μή τε σὺ, τοῦ κατ' ὀφθαλ-

ὀφθαλμὸς ἐθέλειν ἐπαινεῖσθαι, ποιήσομαι τοὺς λόγους ὑπὲρ τοῦ χρησοῦ βασιλέως, τὸ ποῖον εἶναι δεῖ: καὶ τίς ἡ διαφορὰ τοῦ πεφυτοιωμένου ἄρχοντος εἶναι, πλεῖον δὲ ἀπέχοντος ἀρχῆς καὶ βασιλείας. εἰ δέ τις φήσει, με τοὺς αὐτὸς ποιῆσαι λόγους, τοῦτο αὖ εἴη κοινὸν ἐμοὶ τὸ ἔγκλημα καὶ Σωκράτει. φασὶ γάρ ποτε Ἱππίαν τὸν Ηλεῖον, διὰ χρόνου πλείονος ἀκούοντα τοῦ Σωκράτους περὶ δικαιοσύνης καὶ ἀρετῆς λέγοντος, καὶ παραβάλλοντος, ὥσπερ εἴωθε, τοὺς κυβερνήτας, καὶ ἰατροὺς, καὶ σκυτοτόμους, καὶ κεραμέας, εἰπεῖν, ἅτε σοφιστὴν: πάλιν σὺ ταὐτὰ, Σώκρατες. καὶ ὃς γελάσας, ἔφη. καὶ περὶ τῶν αὐτῶν. σὺ μὲν γὰρ ὡς ἔοικεν ὑπὸ σοφίας, οὐδέπαυε ταὐτὰ περὶ τ' αὐτῶν λέγεις. ἡμῖν δ' ἐν τοῦτο δοκεῖ τ' καλλίστων εἶναι. σοὶ μὲν γὰρ ψαυδομένους οἶδαμεν πολλὰ, καὶ ἀνόμοια λέγοντας, τοῖς δὲ ἀληθέσιν, οὐκ οἷόν τε ἕτερα εἰπεῖν τῶν ἀληθῶν. ἐγὼ δὲ, εἰ μὲν ἑώρων ἄλλῳ τινὰ ὑπόθεσιν, ἀπουδαιοτέραν, ἢ σοὶ μᾶλ-

τοὶ μᾶλλον προσήκουσαν, ἐκείνην ἂν ἐπεχείρουν ποιήσασθαι. νῦν δὲ οὔτε ἰατρὸν ἄλλους τινὰς ἀκούειν ἢ λέγειν λόγους φαίην ἂν ὀρθῶς, ἢ τοὺς περὶ ὑγιείας σώματος καὶ νόσου. οὗτοι γὰρ ὑγιεινοὶ καλοῦνται. οὔτε κυβερνήτην, ἢ τοὺς περὶ ὡρῶν, καὶ ἀνέμων, καὶ ἄστρων. οὗτοι γὰρ κυβερνητικοὶ δικαίως λέγονται. οὔτε ἄρχοντας καὶ βασιλέα, ἢ τοὺς περὶ ἀρχῆς τε καὶ διοικήσεως ἀνθρώπων. ὡς δὲ καὶ περὶ τούτων ἐνόμιζε Σωκράτης, πειράσομαι εἰπεῖν. μετὰ γὰρ τὴν ἀπόκρισιν τὴν περὶ τῆς εὐδαιμονίας, ἐπείθετο τοῦ Σωκράτους, ἐκεῖνο τὸ ἐρώτημα ἐρωτήσας: ὦ Σώκρατες, ἔφη, τοῦτο μὲν ἐπίστασαι παντὸς μᾶλλον, ὅτι τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων, ἐκεῖνός ἐστιν ἰσχυρότατος, καὶ μηδὲ τῶν θεῶν αὐτῶν ἥττονα ἔχων δύναμιν, ᾧ γε ἔνεστι καὶ τὰ ἀδύνατα δοκοῦντα ποιῆσαι δυνατά: εἰ βούλοιτο μὲν, ποιῆσαι πεζεύεσθαι θάλασσαν, πλεῦσαι δὲ τὰ ὄρη: τοὺς δὲ ποταμοὺς ἐκλείπειν ὑπὸ ἀνθρώπων πινομένους. ἢ οὐκ ἀκήκοας, ὅτε Ξέρξης ὁ τῶν Περσῶν βασιλεὺς, τὴν

μὲν γὴν ἐποίησε θάλασσαν, διελὼν τὸ μέγιστον τῶν ὀρῶν, καὶ διαστήσας ἀπὸ τῆς ἠπείρου τὸν Αθω: διὰ δὲ τῆς θαλάττης τὸν πεζὸν στρατὸν ἄγων, ἤλαυνεν ἐφ' ἅρματος: ὥσπερ οἶμαι τὸν ποσειδῶνα φησὶν Ομηρος, καὶ τυχὸν ὁμοίως οἵ τε δελφῖνες καὶ τὰ κήτη κάτωθεν ὑπέπλουν τὴν σχεδίαν, ὁπότε ἐκεῖνος ἤλαυνεν: καὶ ὁ Σωκράτης, οὐδὲ τοῦτό σοι ἔχω εἰπεῖν: εἴτε μέγιστον ὁ ταῦτα ποιῶν δύναται, καθάπερ σὺ λέγεις: εἴτε ἐλάχιστον, ἢ τὸ παράπαν οὐδὲν. σκόπει γὰρ τοῦτο αὐτίκα. εἰ μὲν ἦν σώφρων καὶ ἀνδρεῖος, καὶ δίκαιος, καὶ μετὰ γνώμης ἔπραττεν, ὅσα ἔπραττεν, ἰσχυρὰν αὐτὸν ἡγοῦμαι καὶ μεγίστην ἔχειν τῷ ὄντι δύναμιν. εἰ δὲ αὖ δειλὸς, καὶ ἀνόητος, καὶ ἀσελγὴς, καὶ παράνομος, καὶ δι' ὕβριν ταῦτα ἐπιχειρῶν, τοὐναντίον ἔμοιγε ἀσθενέστατος εἶναι δοκεῖ, τῶν σφόδρα πενήτων, καὶ μηδένα γῆς κεκτημένων βῶλον, ὥς τε διατρίψαι μακέλλῃ, τροφῆς ἕνεκεν, οὐχ ὅπως τὰ μέγιστα διαθρύπτειν ὄρη, καθάπερ σὺ φῂς. ὁ γὰρ ἀδύνατος μὲν ὀργὴν

ἐπι-

ὑπομαραίνειν, πολλάκις ὑπὸ σμικρῶν χι-
νομένων, ἀδυνάτους ὄντας ὑπομεῖναι τὴν
αἰσχίονα, ἀδυνάτους δὲ ἀπώσασθαι λύπην, ἐ-
νίοτε μηδενὸς λυπηροῦ παρόντος: ἀδυνάμενος
δὲ ὑπομεῖναι πόνους, οὐδὲ τῆς ἡδονῆς ἕνεκεν
γινομένους: ἀδυνάτους ὄντας τῆς ψυχῆς ἀπελά-
σαι φόβον, οὐδὲν ὠφελοῦντα ἐν τοῖς δεινοῖς,
ἀλλὰ τὰ μέγιστα βλάπτοντα: πῶς οὐκ ἀσθε-
νὴς οὗτος σφόδρα; ἡττώμενος μὲν γυναικῶν,
ἡττώμενος δὲ ἐνυάχων. ἢ σὺ τοῦτον ἰσχυρὸν εἶ-
ναι λέγεις, τὸν καὶ τοῦ μαλακωτάτου πάντων
ἀσθενέστερον ὕπνου; ὑφ' οὗ ξυμποδισθεὶς πολ-
λάκις ἀνδρὸς δεσμῶν, οὐχ ὅπως ἄλλῳ, ἀλλ'
ἐφ' ἑαυτῷ δυνατὸς βοηθεῖν, οὐδὲ ὑπέκφυγον ἑ-
δένα καλέσαι τῶν βλαπτόντων ἀμυνεῖν. ταῦτα
δὲ ἀκούσας εἶπεν: ἐκεῖνο μὲν οἶδα δή που,
Σώκρατες, ὅτι ἀπείρου οἰκουμένης ἔστιν ἃ τέμνει
καὶ δρύπτει βασιλεὺς μέρος. ἔξω γὰρ τῆς Ἑλλά-
δος καὶ τῆς Ἰταλίας καὶ Λιβύων ὀλίγων ἐθνῶν ἄλ-
λων τε καὶ τῆς Εὐρώπην, ξύμπαντα τἄλλα ὑφ'
ἑαυτῷ πεποίηται: καὶ τῆς μὲν καλουμένης Ἀσίας

ὅλης, ἄρχει μέχρις Ινδῶν: πολλοὶ δὲ καὶ αὐτῆς φασὶ ὑπακούειν τῆς Λιβύης τοῦ πλείονας: ἐν δὲ τῇ Εὐρώπῃ Θρᾴκης καὶ Μακεδονίας, ἁπάντων τούτων κρατεῖν: ὅθεν δὴ καὶ μέγας βασιλεὺς κέκληται μόνος ἐκεῖνος. καὶ ὁ Σωκράτης εἶπεν: ἀλλ' οὐδὲ τοῦτο οἶδα ὅλως γε, εἰ βασιλεύς ἐστι τὴν ἀρχὴν οὐδεμιᾶς πόλεως ἢ κώμης. σὺ ἆρα, εἶπε, μόνος ἀνήκοος εἶ τούτου, ὃν ἅπαντες ἴσασιν; ἀκούω, ἔφη, πολλῶν λεγόντων, ἃ σὺ λέγεις, καὶ ἑλλήνων, καὶ βαρβάρων. ὁ δὲ οὐκ ἐᾷ με γινώσκειν, ὃ λέγω, τοιοῦτόν ἐστιν. οὐκ οἶδα, ὦ ἄριστε, εἰ νομίμως καὶ δικαίως τούτων ἁπάντων προέστηκεν, καὶ τοιοῦτος ὢν, ὁποῖον εἴρηκας πολλάκις. εἰ μὲν γὰρ εὐγνώμων, καὶ φιλάνθρωπος, καὶ νόμιμος ὢν, ἐπὶ σωτηρίᾳ καὶ τῷ συμφέροντι τῶν ἀρχομένων ἐπιμελεῖται, αὐτὸς πρῶτος καὶ εὐδαίμων καὶ φρόνιμος ὢν, καθάπερ εἶπον, καὶ τοῖς ἄλλοις διδοὺς, καὶ τῆς αὐτοῦ εὐδαιμονίας οὐ δίχα θεὶς τό, τε ἑαυτοῦ καὶ τὸ τῶν ἀρχομένων συμφέρον: ἀλλὰ τότε χαίρων

μάλι-

μάλιστα, καὶ τότε νομίζων ἄριστα πράττειν, ὅταν ὀρθῶς καλῶς πράττοντας τοὺς ἀρχομένους, δικάζει τὲ μέγιστος ἐστι καὶ βασιλεὺς ἀληθῶς. εἰ δὲ φιλήδονος, καὶ φιλοχρήματος, καὶ ὑβριστὴς, καὶ παράνομος αὐτὸν οἰόμενος ἄριστον μόνον, ὡς αὖ πολίτας μὲν χρήματα κεκτημένους, μεγίστας δὲ καὶ πολίτας καρπούμενος ἡδονὰς, ῥαθύμως ἢ δάκνων καὶ ἀπόνως, τοὺς δὲ ὑπηκόους ἅπαντας ἡγούμενος δούλους, καὶ ὑπηρέτας τῆς αὐτοῦ τρυφῆς, ὀδὲ, ποιμένος ὀπιπικοῦς ἔχων ἦθος, σκέπης καὶ μονῆς προνούμενος τοῖς αὐτοῦ κτήμασιν, ἔπ δὲ θῆρας ἀπαμυνῶν, καὶ φῶρας προφυλάττων, ἀλλὰ πρῶτος ἁρπάζων τὲ καὶ διαφθείρων, καὶ τοῖς ἄλλοις ὀπιτρέπων, καθάπερ, οἶμαι, πολεμίων λείαν, οὐκ αὖ ποτὲ εἴποιμι τ' τοιοῦτον ἄρχοντα, ἢ αὐτοκράτορα, ἢ βασιλέα, πολὺ δὲ μᾶλλον τύραννον καὶ λῃστῆρα: ὅ, ποτε προσεῖπεν ὁ Ἀπόλλων τὸν Σικυώνιον τύραννον: εἰ καὶ πολλὰς μὲν ἔχοι πάρας: πολλὰ δ' σκῆπτρα ὑπακούοιεν αὐτῷ. τοιαῦτα μὲν ἐκεῖνος

κεῖνος εἰώθει λέγειν, προτρέπων ἀεὶ πρὸς ἀρετὴν, καὶ βελτίους ποιῶν καὶ ἄρχοντας, καὶ ἰδιώτας. ὅμοια γὰρ εἰρήκασι περὶ ἀρχῆς καὶ βασιλείας, οἱ μετ' αὐτὸν ὡς οἷόν τε ἑπόμενοι τῇ σοφωτάτῃ γνώμῃ. ζητῶμεν δὲ πρῶτον δηλοῦν τὰ ὀνόματα, τὴν διαφορὰν τῶν πραγμάτων. λέγεται γὰρ ἡ μὲν ἀρχὴ, νόμιμος ἀνθρώπων διοίκησις, καὶ πρόνοια ἀνθρώπων καὶ νόμον: βασιλεία δὲ ἀυτεύθυνος ἀρχὴ: ὁ δὲ νόμος βασιλέως δόγμα. ὁ δὲ τύραννος καὶ ἡ τυραννὶς, ἐναντίον τούτοις, βίαιον, καὶ παράνομος χρῆσις ἀνθρώπων, τοῦ δοκοῦντος ἰσχύειν πλέον. ἔστω δὲ καὶ ἡμεῖς διανοώμεθα, καὶ φαμὲν περὶ τοῦ θείου καὶ θεοφιλοῦς καὶ αὐτοκράτορος βασιλέως. τρία γὰρ εἴδη τὰ φανερώτατα πολιτειῶν νομίζεται γιγνομένων κατὰ νόμον καὶ δίκην, μετὰ δαίμονός τ' ἀγαθοῦ καὶ τύχης ὁμοίας. μία μὲν ἡ πρώτη καὶ μάλιστα συμβῆναι δυνατὴ, περὶ ἧς ὁ νυνὶ λόγος, διοικουμένης πόλεως ἢ πολιτῶν ἐθνῶν, ἢ ξυμπάντων ἀνθρώπων, ἑνὸς ἀνδρὸς ἀγαθοῦ γνώμῃ

καὶ

καὶ ἀρετῆ. δευτέρα ἡ ἀριστοκρατία καλουμένη, οὔτε ἑνὸς, οὔτε πολλῶν ἀνῶν, ἀλλὰ ὀλίγων τῶν ἀρίστων ἡγουμένων, πλεῖον ἀπέχουσα ἤδη τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος. τοῦτο ἔμοιγε δοκεῖ καὶ Ὁμηρος εἰπεῖν διανοηθεὶς: οὐκ ἀγαθὸν πολυκοιρανίη: εἷς κοίρανος ἔστω: εἷς βασιλεύς, ᾧ ἔδωκε κρόνου παῖς ἀγκυλομήτεω. τρίτη ἡ πασῶν ἀδυνατωτάτη χεδὸν καὶ σωφροσύνη καὶ ἀρετῆ, δήμῳ πεσσδοκῶσά ποτε εὑρήσειν, καὶ κατάστασιν πολιτικὴν καὶ νόμον, δημοκρατία πεσσγορευομένη, πολιτικὲς ὄνομα καὶ πρᾶγον, εἴπερ ἦν δυνατὸν. τρισὶ δὲ ταύταις, ὥσπερ εἴρηται, πολιτείαις, τρεῖς ἐναντίαι καὶ παράνομοι διαφθοραί: ἡ μὲν πρώτη τε καὶ ἀρίστη καὶ μόνη δυναστωτάτη, τυραννὶς, ἑνὸς ὕβρει καὶ βίᾳ τοῦ κακίστου, τῶν ἄλλων ἀπολλυμένων: ἡ δὲ μετ' ἐκείνην, ὀλιγαρχία, σκληρὰ καὶ ἄδικος πλεονεξίᾳ πλουσίων ἀνῶν, καὶ πονηρῶν ὀλίγων ἐπὶ τοῦ πολλοὺς καὶ ἀπόρους σύστασις: ἡ δ' ἐξῆς πικίλη καὶ παντοδαπὴ φορὰ πλήθους, οὐδὲν εἰδότος

ἁπλῶς, ταραττομένου δὲ ἀεὶ καὶ ἀγριαίνοντος ὑπὸ ἀκολάστων παιδαγωγῶν, ὥσπερ κλυδῶνος ἀγρίου καὶ χαλεποῦ ὑπὸ ἀνέμων σκληρῶν μεταβαλλομένου. τούτων μὲν οὖν ὁ λόγος ἄλλως ἐπεμνήσθη, πολλὰ παθήματα, καὶ συμφορὰς ἑκάστης αὐτῶν ἐκ τοῦ πρότερον χρόνου δεῖξαι δυνάμενος: περὶ δὲ τῆς εὐδαίμονός τε καὶ θείας καταστάσεως τῆς νῦν ἐπικρατούσης, χρὴ διελθεῖν ἐπιμελέστερον. πολλαὶ μὲν οὖν εἰκόνες ἐναργεῖς, καὶ παραδείγματα οὐκ ἀμυδρὰ τῆσδε τῆς ἀρχῆς, ἔν τε ἀγέλαις καὶ σμήνεσιν, ἐπισημαινούσης τῆς φύσεως, τὴν κατὰ φύσιν τοῦ κρείττονος, τῶν ἐλαττόνων ἀρχὴν καὶ πρόνοιαν. οὐ μὴν φανερώτερον οὐδὲ κάλλιον ἕτερον γένοιτο, τῆς τοῦ παντὸς ἡγεμονίας, ἢ ὑπὸ τῷ πρώτῳ τε καὶ ἀρίστῳ θεῷ τάττεται τῷ Διΐ. τοσοῦτος δὲ ὢν, πρῶτον μέν ἐστι θεοφιλὴς, ἅτε τῆς μεγίστης τυγχάνων παρὰ θεῶν τιμῆς καὶ πίστεως: καὶ πρῶτόν γε καὶ μάλιστα θεραπεύειν τὸ θεῖον οὐχ ὁμολογῶν οὐ μόνον, ἀλλὰ καὶ πεπεισμένος εἶναι θεοὺς:

ἵνα

ἵνα δὴ καὶ αὐτὸς ἔχοι σὺν τῇ ἀξίαν ἄρχοντας. ἡγεῖται γὴ τοῖς ἄλλοις ἀνθρώποις ζυμφέρον εἶναι τὴν αὐτοῦ σοφίαν ἅτως, ὡς αὐτῷ τὴν ἐκείνων ἀρχήν. καὶ μὴν ἐκεῖνο ἑαυτῷ ζωσιδὼς οὔποτε δῶρον δέξεται παρὰ τῶν κακῶν ἀνδρῶν: οὐδὲ τοὺς θεοὺς ἀναθήμασιν, οὐδὲ θυσίαις οἴεται χαίρειν τῶν ἀδίκων ἀνδρῶν. παρὰ νόμον δὲ τῶν θεῶν σοφίσεται τὰ δεδομένα. τοιγαροῦν θεραπεύει ἀφθόνως αὐτὸς, καὶ τούτοις, ἐκείνους μὴν οὐδέποτε παύσει τιμῶν, τοῖς καλοῖς ἔργοις καὶ ταῖς δικαίαις πράξεσιν, ἕκαστόν γε μὴν τῶν θεῶν ἱλάσεται, κατὰ τὴν τοῦ θεοῦ δύναμιν. ἡγεῖται δὲ τὴν μὲν ἀρετὴν, ὁσιότητα, τὴν δὲ κακίαν πᾶσαν ἀσέβειαν. εἶναι γὰρ ἐναγεῖς καὶ ἀλιτηρίους, οὐ μόνον τοὺς ἱερὰ ζυλῶντας, ἢ λέγοντάς τι βλάσφημον εἰς τὸ θεῶν, ἀλλὰ πολὺ μᾶλλον τὰς τε δειλὰς καὶ ἀδίκους, καὶ ἀκρατεῖς, καὶ ἀνοήτους: καὶ καθόλου τὰς ἐναντίον τι πράττουσας τῇ τε δυνάμει, καὶ βουλήσει τῶν θεῶν. ἃ μόνον δὲ ἡγεῖται θεοὺς, ἀλλὰ καὶ δαίμονας,

καὶ ἥρωας ἀγαθοὺς, τὰς τῶν ἀγαθῶν ἀνδρῶν ψυχὰς, μεταβαλλούσας ἐκ τῆς θνητῆς φύσεως. τοῦτο δὲ βεβαιοῖ τὸ δόγμα, ὡς ἥκιστα χαριζόμενος αὐτῷ, τήν τε τῶν ἀνθρώπων ἐπιμέλειαν, οὐ πάρεργον, οὐδὲ ἀσχολίαν ἄλλως νενόμικεν, βαρυνόμενος, οἶμαι, τὰς φοντίδας, ἀλλὰ ἔργον αὐτοῦ, καὶ τέχνην ταύτην: καὶ ὅταν μὲν ἄλλοτι ποιῇ, οὐδὲν ἡγεῖται σπουδαῖον, οὐδὲ τῶν αὐτοῦ πράττειν. ὅταν δὲ ἀνθρώπους ὠφελῇ, τότε νομίζει τὸ προσῆκον ἀποτελεῖν, ἅτε ὑπὸ τοῦ μεγίστου θεοῦ ταχθεὶς, ἐπὶ τοῦτο τὸ ἔργον: ᾧ ἀπειθεῖν οὐ θέμις οὐδὲν, οὐδὲ ἄχθεσθαι ἅτε προσηκούσας αὐτῷ νομίζων. οὐδεὶς γὰρ οὕτω μαλακὸς, οὐδὲ φιλήδονος: ὃς οὐχ ἥδεται τῇ αὐτοῦ πράξει, κἂν τύχῃ ἐπίπονος: ὡς ἥκιστα μὲν κυβερνήτης ἀχθεσθείη τοῖς ἐν θαλάττῃ πόνοις: ἥκιστα δὲ γεωργὸς, τοῖς περὶ γεωργίας ἔργοις: ἥκιστα δὲ κυνηγέτης, ὃν δεῖ θηρῶντα κάμνειν: καί τοι σφόδρα μὲν ἐπίπονον γεωργία, σφόδρα δὲ κυνηγεσία: οὐ μὴν ἀπαξιοῖ τὸ κάμνειν, καὶ ἐνοχλεῖσθαι τῶν

ἄλλων

ἄλλων ἕνεκεν, οὐδὲ ταύτῃ χεῖρον πράττων νενόμικεν, ἐὰν δέῃ πλείστου αὐτὸς ἀναδέχεσθαι πόνους, καὶ πλεῖστα πράγματα ἔχειν. ὁρᾷ γὰρ καὶ τὸν ἥλιον οὐδενὸς ἐλάττω τῶν θεῶν οὐκ ἀχθόμενον, εἰ σωτηρίας ἕνεκεν ἀνθρώπου καὶ βίου τὸν αἰῶνα διαπράττεται, πάντα ὅσα πράττει. καὶ τοίνυν τὴν μὲν ἀνδρείαν καὶ τὴν ἐγκράτειαν, καὶ τὴν φρόνησιν, ἀναγκαίας νομίζει, καὶ τοῖς ἀμελοῦσι τοῦ δικαίου, καὶ βουλομένοις τυραννεῖν. * οὐκ εἰ τάχιστα ἐσπούδακεν, ἀπολοῦνται, ἀλλὰ καὶ μᾶλλον παρέχειν, εἴτι τούτους ἑώρα δεομένους αὐτοῦ. ὅσω δὲ πλείους μὲν ἔχει τοὺς μισοῦντας, πλείους δὲ τοὺς ἐπιβουλεύοντας, οὐδένα πιστὸν, οὐδὲ κηδόμενον: τοσούτῳ δὲ μᾶλλον, εἰ σωθήσεταί τινα χρόνον, καὶ ἀγρυπνητέον εἶναι, καὶ φροντιστέον, καὶ ἀμυνόμενόν γε, μὴ ἡττᾶσθαι τῶν πολεμικῶν, καὶ ἐπιβουλεύομενον μὴ ἀγνοεῖν τοὺς ἐπιβουλεύοντας, καὶ τῶν ἡδονῶν ἀφεκτέον, καὶ γαστρὶ καὶ ὕπνῳ, καὶ ἀφροδισίοις ἐλάχιστα προσεκτέον, ἢ τῷ φιλουμένῳ μὲν ὑπὸ πάντων, μηδένα δὲ ἔχοντι ἐπιβουλεύοντα.

εἰ δὲ

εἰ δὲ δεῖ τὰς αὐτὰς μὲν φροντίδας ἔχειν ἢ πλείους, πολὺ δὲ μείζους ἀσχολίας: ὁμοίως ἢ ἐυλαβεῖσθαι τὰς ἡδονὰς: ὁμοίως δὲ τοὺς κινδύνους ὑπομένειν: πόσῳ δὴ κρεῖττον μὴ δημοσιώνης καὶ ἀρετῆς, ἢ μετὰ πονηρίας καὶ ἀδικίας πάντα ταῦτα ὑπιτηδεύειν; καὶ μὴ ἐπαίνου φαίνεσθαι τοιοῦτον, ἢ μετὰ ψόγου, ἀγαπώμενον μὲν ὑπὸ ἀνθρώπων, ἀγαπώμενον δὲ ὑπὸ θεῶν, ἢ τἀναντίον μισούμενον. καὶ τοίνυν τὸ μὲν παρὸν, βραχύ ἐι τῷ ἀνθρώπῳ, καὶ ἀσυλλόγιστον: κατέχει δὲ τοῦ βίου τὸ πλεῖστον, μνήμη τῶν πεπραγμένων, καὶ ἡ τῶν μελλόντων ἐλπίς. πότερον οὖν τοῖν ἀνδροῖν ἡγούμεθα εὐφραίνειν τὴν γνώμην, ἢ πότερον ἀνιᾶν, καὶ πότερον θαῤῥύνειν τὰς ἐλπίδας, καὶ πότερον σκυθρώπειν; σκοπῶ καὶ ἡδίω ἀνάγκη τὸν βίον εἶναι τοῦ ἀγαθοῦ βασιλέως. ὁρᾷς γὰρ, ὅτι παντάχοῦ τὸ βέλτιον τοῦ ἥττονος ἔπεφυκεν ὁ θεὸς ποιεῖν τὲ καὶ ἄρχειν: οἷον, τέχνην μὲν ἀτεχνίας, ἀσθενείας δὲ δύναμιν: οὕτω δὲ ἀνοήτου τὸ φρόνιμον ποιεῖν καὶ βουλεύειν ἐποίησεν.

ἐν πάν-

ἐν πάσαις δὲ ταύταις ταῖς ἐπιμελείαις, τὸ ἄρχειν, οὐδαμῶς ῥάθυμον, ἀλλ' ἐπίπονον: οὐδὲ πλέον ἔχεται ἀνέσεως καὶ σχολῆς, ἀλλὰ φροντίδων καὶ πόνων. αὐτίκα ἐν νηὶ ἐπιβάταις ἔξεστιν ἀμελεῖν, μηδὲ ὁρᾶν τὴν θάλατταν: ἀλλὰ μηδὲ ὅποι γῆς εἰσὶ τὸ τοῦ λόγου τοῦτο εἰδέναι: καὶ πολλοὶ τὸν τρόπον τοῦτον πλέουσι ταῖς εὐδείαις, οἱ μὲν πεττεύοντες, οἱ δὲ ᾄδοντες, οἱ δὲ εὐωχούμενοι δι' ἡμέρας. ὅταν δὲ καταλάβῃ χειμὼν, ἐγκαλυψάμενοι περιμένουσι τὸ συμβησόμενον: οἱ δέ τινες καθυπνώσαντες, οὐδ' ἀνέστησαν, ἕως γενόμενοι ἐν τῷ λιμένι: τῷ κυβερνήτῃ δὲ ἀνάγκη μὲν ὁρᾷν πρὸς τὸ πέλαγος: ἀνάγκη δὲ ἀποβλέπειν εἰς τὸν οὐρανὸν: ἀνάγκη δὲ προσκοπεῖν τὴν γῆν, οὐ μὴν οὐδὲ τὰ ἐν τῷ βυθῷ χρὴ λανθάνειν αὐτὸν, ἢ λήσεται περιπεσὼν ὑφάλοις πέτραις, ἢ ἀδήλοις ἕρμασι. μόνῳ δὲ ἐκείνῳ, τῆς μὲν νυκτὸς, ἧττον ἔξεστι καθυπνῶσαι, ἢ τοῖς νηχομένοις: ἡμέρας δὲ εἴ που τι βραχὺ κλέψειε τοῦ ὕπνου, καὶ τοῦτο μετέωρον καὶ ἀμφίβολον.

βολον, ὡς ἀναβοᾶν πολλάκις, ἢ τὸ ἱστίον σέλλειν, ἢ παρασῆσαι τὸ πηδάλιον, ἢ ἀλλό τι τῶν ναυτικῶν, ὥστε κοιμώμενον ἐκεῖνος, μᾶλλον ἐπιμελεῖται τῆς νεὼς, ἢ τῶν ἄλλων οἱ σφόδρα ἐγρηγορότες. ἔν γε μὴν τῷ στρατεύεσθαι, τὸν μὲν στρατιωτῶν ἕκαστος, αὐτῷ μόνῳ ἐπιμελεῖται, καὶ σώζων, καὶ τρέφῃς, ἐνταῦθα ὁ πείζων, ἀλλ' ἕτοιμα ἀξιῶν ἔχειν, μόνης ἢ φροντίζει τῆς ὑγείας τῆς ἑαυτοῦ, μόνης δὲ τῆς σωτηρίας: τῷ στρατηγῷ ἢ ἔργων ἐστὶν ἅπαντας μὲν ὠφελῆσαι καλῶς, ἅπαντας ἢ εὑρεῖν σκέψης, ὁ μόνον ἢ τὰς τῶν ἀνθρώπων γαστέρας πληρῶν, ἀλλὰ καὶ τὰς τῶν ἵππων: ἐὰν ἢ μὴ πάντες ἔχωσι τὰ ἐπιτήδεια, πολὺ μᾶλλον ἄχθεσθαι, ἢ αὐτὸς νοσῶν, σωτηρίαν μεμιῶ τὴν ἐκείνων, ὁ πολὺ ἐλάττονος ποιεῖται τῆς αὐτοῦ. καὶ γὰρ δὴ νικᾶν μὲν ἀδύνατον ἄνευ σωτηρίας τῶν στρατιωτῶν: ὑπὲρ ἢ τῆς νίκης πολλοὶ τῶν ἀγαθῶν καὶ ἀποθνήσκειν αἱρῆνται). πάλιν ἢ τοῖς καθ' ἕκαστον ἡμῶν, τὸ μὲν σῶμα, ἅτε ἀνόητον, ἁπλῶς αὐτῷ βοηθεῖν ἱκανόν ἐστιν, ἁπλῶς ὑπὲρ αὐτοῦ φρονεῖν

τίζειν πέφυκεν, οὔτε τῆς ψυχῆς ἀπολειπούσης, οὐδὲ ὀλίγον δύναται διαμένειν, ἀλλὰ παραχρῆμα λύεται καὶ ἀπόλλυται: ἡ ψυχὴ δὲ ὑπὲρ ἐκείνου πάσας μὲν φροντίδας φροντίζει, πάσας δὲ ἐπινοίας σκύλλει, καὶ πολλὰ μὲν ἀνιᾶται λυπουμένη, καὶ τὸ μὲν σῶμα αὐτὸ παρούσης μόνον αἰσθάνεται τῆς ἀλγηδόνος: ἡ ψυχὴ δὲ πρὶν ἢ γενέσθαι τὴν ἀλγηδόνα ἀνιᾶται: πολλάκις δὲ καὶ μελλούσης γίνεσθαι διορρωδεῖ: θανάτου τε σῶμα μὲν οὐδέποτε ᾔσθετο. ψυχὴ δὲ καὶ τοῦτο συνίησι, καὶ πολλὰ πάσχει, ῥυομένη μὲν ἐκ νόσων τὸ σῶμα, ῥυομένη δ' ἐκ πολέμων, ῥυομένη δ' ἐκ χειμῶνος, ῥυομένη δ' ἐκ θαλάττης. οὕτω πανταχῇ ἐπιπονώτερον ψυχὴ καὶ ταλαιπωρότερον σώματος. ὅμως δὲ θειότερον, καὶ βασιλικώτερον. καὶ μὴν τῶνγε ἀνθρώπων πᾶς ἂν ὁμολογήσειεν ἰσχυρώτερον καὶ ἡγεμονικώτερον ἀνὴρ γυναικὸς: ἀλλ' ἐκείναις μὲν, τὰ πολλὰ τῶν ἔργων κατ' οἰκίαν ἐστὶ, καὶ ἄπειροι μὲν ὡς τὸ πολὺ χειμώνων διατελοῦσιν, ἄπειροι δὲ πολέμαν, ἄπειροι δὲ

κινδύ-

κινδύνων: τοῖς δὲ ἀνδράσι προσήκει μὲν στρατεύεσθαι, προσήκει δὲ πολεμεῖν, προσήκει δὲ ναυτιλίας, ἀνάγκη δὲ ἐν ὑπαίθρῳ τὰ ἔργα διαπονεῖν: ἀλλ' οὐ διὰ τοῦτο μᾶλλον ἄν τις μακαρίσειε τῶν ἀνδρῶν τὰς γυναῖκας: ὅσοι δ' ἂν δι' ἀσθένειάν τε καὶ μαλακίαν ἐζήλωσαν τὸν ἐκείνων βίον, ὥσπερ Σαρδανάπαλος, διαβόητοι μὲν νῦν εἰσιν ἐπὶ τοῖς αἰσχροῖς. τὸ δὲ μέγιστον, ὁρᾷς τὸν ἥλιον, πόσῳ μὲν τῶν ἀνθρώπων ὑπερέχει μακαριότητι θεὸς ὤν: ὅτι δὲ οὐκ ἀναίνεται δι' αἰῶνος ἡμῖν ὑπουργῶν, καὶ τῆς ἡμετέρας ἕνεκα σωτηρίας πράττων ἅπαντα. τί γὰρ ἄλλό τις εἴποι τὸν ἥλιον ἐργάζεσθαι δι' αἰῶνος, καὶ ὁπόσων ἄνθρωποι δέονται; ποιοῦντα μὲν καὶ διακρίνοντα τὰς ὥρας: αὔξοντα δὲ καὶ τρέφοντα πάντα μὲν ζῶα, πάντα δὲ φυτὰ, χορηγοῦντα δὲ τὸ κάλλιστον καὶ ἥδιστον ὁραμάτων φῶς: οὗ χωρὶς, οὐδὲ τῶν ἄλλων ὄφελος οὐδὲν τῶν καλῶν, οὔτε οὐρανίων, οὔτε ἐπιγείων: ἀλλ' οὐδὲ τὸ ζῆν: καὶ ταῦτα οὐδέποτε κάμνει χαριζόμε-

ριζόμενος, ἢ τοῦ γε δουλείαν δουλεύειν φαίη τὶς ἂν, πάνυ ἰσχυρὰν. εἰ γὰρ καὶ σμικρὸν σικελήσειε, καὶ παραβαίη τῆς αὐτοῦ τάξεως, οὐδὲν κωλύει πάντα μὲν ἄνθρωπον, πᾶσαν δὲ γῆν, πᾶσαν δὲ θάλατταν οἴχεσθαι, πάντα δὲ τοῦτον τὸν εὐειδῆ καὶ μακάριον κόσμον τῆς αἰσχίστην καὶ χαλεπωτάτην ἀκοσμίαν φανῆναι. νῦν δὲ, ὥσπερ ἐν λύρᾳ φθόγγων ἁπτόμενος ἐμμελῶς οὐδέποτε ἐξίσταται τῆς καθαρᾶς τε καὶ ἄκρας ἁρμονίας, μίαν καὶ τὴν αὐτὴν ἀπιὼν ὁδόν. ἐπεὶ δὲ δεῖται μὲν ἀλέας ἡ γῆ γεννῆσαι τὰ φυόμενα, καὶ ὥς τε αὐξῆσαι, καὶ ὥς τε ἐπιτελέσαι, δεῖται δὲ τὰ ζῶα καὶ σωτηρίας ἕνεκεν τῶν σωμάτων, καὶ ἡδονῆς τῆς κατὰ φύσιν, δεόμεθα καὶ ἡμεῖς πάντων μάλιστα, ἅτε πλείστης χρήζοντες βοηθείας, θέρος ἐποίησεν: ἀεὶ καὶ μᾶλλον ἐγγυτέρω προσιὼν τῆς ἡμετέρας οἰκήσεως, ἵνα πάντα μὲν φύσῃ, πάντα δὲ θρέψῃ, πάντα δὲ τελειώσῃ, θείαν δὲ καὶ θαυμαστὴν παράσχῃ τοῖς ἀνθρώποις εὐφροσύνην τε καὶ ἑορτὴν: ἐπεὶ δὲ αὖ πάλιν πολλὰ καὶ ἡμεῖς ἐν

χρείᾳ γινόμεθα τῆς ἐναντίας κράσεως (δεῖται μὲν γὰρ ὑπὸ τοῦ ψύχους τὰ σώματα συνίστασθαι, δεῖται δὲ πυκνώσεως τὰ φυτὰ, δεῖται δὲ ὄμβρων ἡ γῆ.) πάλιν ἄπεισιν ἀφ' ἡμῶν ἀφιστάμενος μέτριος. οὕτω δὲ πάνυ ἀσφαλῶς καὶ ἀρηρότως τηρεῖ τοὺς ὅρους πρὸς τὸ ἡμῖν συμφέρον, ὥς τε εἴτε προσιὼν ὀλίγον ἐγγυτέρω γένοιτο, πάντα ἂν συμφλέξειεν: εἴτε ἀπιὼν σμικρὸν ὑπερβάλλοι, πάντα ἂν ἀποψυχείη τῷ κρύει. ἐπεὶ δὲ ἀσθενέστεροι φέρειν ἐσμὲν τὴν μεταβολὴν ἀθρόαν γινομένην, κατ' ὀλίγον ταῦτα μηχανᾶται, καὶ τρόπον τινὰ ἡμᾶς λανθάνει, καὶ συνεθίζων τοῦ ἦρος ὑπενεγκεῖν τὸ θέρος, προγυμνάζων δὲ τοῦ μετοπώρου, χειμῶνα ἀνέχεσθαι, ἐκ μὲν τοῦ χειμῶνος θάλπων κατ' ὀλίγον, ἐκ δὲ τοῦ θέρους ἀναψύχων: ὥς τε ἀλύπως ἀφικνεῖσθαι πρὸς ἑκατέραν τὴν ὑπερβολήν. ἐπεὶ δὲ αὖ τὸ φῶς, ὁρᾶσθαι μὲν ἥδιστον, πράττειν δὲ ἀδύνατον ὁτιοῦν χωρὶς αὐτοῦ, κοιμώμενοι δὲ πᾶσαν ἡσυχίαν ἄγομεν, οὐδὲν δὲ χρώμεθα τῷ φωτὶ, ὅσον μὲν ἱκα-

ἱκανὸν ἐγρηγορέναι, ἡμέραν ἐποίησεν, ὅσον δὲ κοιμᾶσθαι ἀναγκαῖον, νύκτα ἀπέδειξε: περὶ δὲ πᾶσαν ἰὼν γῆν, ἄλλοτε ἄλλους ἀναπαύων τε καὶ ἀνιστὰς παριπτούμενος μὲν ἀπὸ τῶν μηκέτι δεομένων φωτὸς, τοῖς δὲ δὴ δεομένοις ἐπιφαινόμενος, καὶ ταῦτα μηχανώμενος δι' αἰῶνος, οὐδέποτε κάμνει. ὅπου δὲ θεὸς ὁ πάντων κάλλιστος καὶ φανερώτερος, οὐχ ὑπερορᾷ τὸν ἅπαντα χρόνον ἀνθρώπων ἐπιμελούμενος, ἢ ποῦ γε ἄνθρωπον θεοφιλῆ καὶ φρόνιμον, χρὴ βαρύνεσθαι τὸ τοιοῦτο, ἀλλὰ μὴν, καθ' ὅσον οἷός τέ ἐστι, μιμεῖσθαι τὴν ἐκείνου δύναμιν καὶ φιλανθρωπίαν; ταῦτα δὲ λογιζόμενος, οὐκ ἄχθεται καρτερῶν, κατανοεῖ δὲ τοῦ μὲν πόνους, ὑγείαν τε παρέχοντας καὶ σωτηρίαν: ἔτι δὲ δόξαν ἀγαθὴν: τὴν δὲ αὖ τρυφὴν, ἅπαντα τούτων τἀναντία. ἔτι δὲ οἱ μὲν πόνοι, αὐτοὺς ἐλάττους ἀεὶ ποιοῦσι, καὶ φέρειν ἐλαφροτέρους: τὰς δὲ ἡδονὰς μείζους καὶ ἀβλαβεστέρας, ὅταν γίνωνται μετὰ τοὺς πόνους. εἰ γὰρ μὴ τοῦτο, τοῦ μὲν πόνους, ἀεὶ χαλεπωτέρους ποιεῖ φαίνεσθαι,

τὰς δὲ ἡδονὰς ἀπομαραίνει καὶ ἀσθενεῖς ἀποδείκνυσιν. ὁ γὰρ ἀεὶ τρυφῶν ἄνθρωπος, μηδέποτε δὲ ἁπτόμενος πόνου μηδενὸς τελευτῶν, πόνον μὲν οὐκ ἂν οὐδένα ἀνάσχοιτο, ἡδονῆς δὲ οὐδεμίας ἂν αἴσθοιτο, οὐδὲ τῆς σφοδροτάτης. ὥστε ὁ φιλόπονος καὶ ἐγκρατὴς, οὐ μόνον βασιλεύειν ἱκανώτερος ἐστὶν, ἀλλὰ καὶ ἥδιον βιοτεύειν πολὺ τῶν ἐναντίων: ἐγρηγόρσεως δὲ καὶ ὕπνου τοῖς μὲν στρατιώταις ἐξίσου μέτεστι, τῶν μὲν φυλαττόντων ἐν μέρει, τῶν δὲ ἀναπαυομένων: ὁ δὲ στρατηγὸς ἀγρυπνότερός ἐστι τῶν ἀεὶ φυλασσόντων. φιλίαν γε μὴν νενόμικεν ἁπάντων τῶν αὐτοῦ κτημάτων κάλλιστον καὶ ἱερώτατον. οὐ γὰρ οὕτως αἰσχρὸν εἶναι τῷ βασιλεῖ, οὐδὲ ἐπικίνδυνον, χρημάτων ἀπορεῖν, ὡς φίλων. οὐδ' ἂν οὕτως τῇ χορηγίᾳ καὶ τοῖς στρατοπέδοις, καὶ τῇ ἄλλῃ δυνάμει διαφυλάττοι τὴν εὐδαιμονίαν, ὡς τῇ πίστει τῶν φίλων. μόνος μὲν γὰρ οὐδεὶς πρὸς οὐδὲν, οὐδὲ τῶν ἰδίων ἱκανός ἐστι. τοῖς δὲ βασιλεῦσιν, ὅσῳ πλείω τε καὶ μείζω πράττειν ἀνάγκη, πλειόνων

ψων δεῖ καὶ τῶ ζωεργοῦντων, καὶ μετ' εὐνοίας πολέμους. ἀνάγκη γὰρ τὸ μέγεθος καὶ σταθερώτερα τῶν πραγμάτων, ἢ πεσεῖν ἑτέροις, ἢ πεσεῖσθαι. καὶ τοίνυν τοῖς μὲν ἰδιώταις οἱ νόμοι παρέχουσι τὸ μὴ ἀδικεῖσθαι ῥαδίως ὑπὸ τούτων, οἷς ἂν ξυμβάλλωσιν, ἢ χρήματα πεσεῖσθαι, ἢ οἶκον ἐπιτρέψαντες, ἢ ἔργου τινὸς κοινωνήσαντες, ζημιοῦσθαι τὸν ἀδικοῦντα: τοῖς δὲ βασιλεῦσι τὸ μὴ ἀδικεῖσθαι πεσεῖσθαι, οὐκ ἔστι παρὰ τῶν νόμων ζητεῖν, ἀλλὰ παρὰ τῆς εὐνοίας. καὶ γὰρ ἰσχυροτέρους μὲν εἰκὸς ἁπάντων εἶναι τοὺς ἐγγὺς τῶν βασιλέων, καὶ τῶν ἀρχόντων ζωδιοικοῦντας. ἀπὸ δὲ τούτων, οὐκ ἔστιν ἄλλα φυλακὴ, πλὴν τὸ ἀγαπᾶσθαι, ὡς τοῖς μὲν τυχοῦσιν, οὐκ ἀσφαλὲς εἰκῆ μεγαλυνόναι δυνάμεως. ὅσῳ δ' ἂν τις τοὺς φίλους ἰσχυροτέρους ποιῇ, τοσούτῳ ἰσχυρότερος αὐτὸς γίνεται. ὁρᾶς δὲ, ὅτι τῶν μὲν ἄλλων κτημάτων, τὰ μὲν ἀναγκαῖα μόνον καὶ χρήσιμα δοκεῖ πᾶσι, τέρψιν δὲ εὐθυμίαν παρέχεται: τὰ δὲ ἡδέα μόνον, ζυμ-

φέρονζα δὲ οὔ: τἐναντίον δὲ τὰ πλεῖσα τῶν ἡδέων ἀσύμφορα εὑρήσκεται· καὶ τἰνων ὅσα μὲν ἀναγκαῖα καὶ χρήσιμα τῶν κτημάτων οὐ πάντως ἁδὺ ἡδονὴν ἵνα ἔχει τοῖς κεκτημένοις. ὅσα δὲ τερπνὰ, διὰ τοῦτο οὐκ εὐθὺς καὶ ζυμφέρονζα. τἐναντίον γὰρ τὰ πολλὰ τῶν ἡδέων, ἀσύμφορα ἐξελέγχεται. αὐτίκα τείχη μὲν καὶ ὅπλα καὶ μηχανήματα, καὶ στρατόπεδα τἀναγκαίων κτημάτων τοῖς κρατοῦσιν. ἄνδρ γὰρ τούτων, οὐχ οἷόν τε σώζεσθαι τὼν ἀρχὴν: τέρψιν δὲ οὐχ ὁρῶ ποίαν γε, δίχα τῆς ὠφελείας ἔχει. καλὰ γὰρ ἄλση, καὶ οἰκία, καὶ πολυτελεῖς ἀνδριάντες καὶ γραφαὶ, τῆς ἀνδαίας τὲ καὶ ἄκρας τέχνης, καὶ χρυσοῖ κρατῆρες, καὶ ποικίλαι τράπεζαι, καὶ πορφύραι, καὶ ἐλέφας, καὶ ἤλεκτρος, καὶ μύρων ὀσμαὶ, θεαμάτων τὲ παντοίων καὶ ἀκουσμάτων τέρψεις, διά τε φωνῶν καὶ ὀργάνων: ἀρὸς γὰρ αὖ τούτοις, γυναῖκες ὡραῖαι καὶ παιδία ὡραῖα: ξύμπαντα ταῦτα, ἁδεμιᾶς ἕνεκα χρείας, ἀλλ' ἡδονῆς εὑρημένα φαίνεζ. μόνῃ γὰρ τῇ Φιλίᾳ ζυμβέβηκεν, ἀπάγ-

πάντων μὲν εἶναι συμφορώτατον, ἁπάντων ἧ
ἥδιστον. εὐθὺς δὲ οἷμαι τ̃ ἀναγκαίων τὰ μέγι-
στα, ὅπλα καὶ τείχη, καὶ στρατόπεδα, καὶ πόλεις
ἄνευ τῶν διοικούντων φίλων, οὔτε χρήσιμα,
οὔτε συμφέροντα: ἀλλὰ καὶ λίαν ἐπισφαλῆ.
οἱ δέ γε φίλοι, καὶ δίχα τούτων ὠφέλιμοι. καὶ
ταῦτα μὲν ἐν πολέμῳ μόνῳ χρήσιμα, τοῖς δὲ
ἀεὶ βιωσομένοις ἐν εἰρήνῃ, αὖ ἥ δυνατὸν, ἀ-
χρεῖα καὶ βαρέα: ἄνευ δὲ φιλίας, οὐδ' ἐν
εἰρήνῃ ζῆν, ἀσφαλὲς. καὶ μὴν ὧν εἶπον ἡ-
δέων, τὸ μὴ κοινωνεῖν φίλοις τερπνότατον:
μόνον ἧ ἀπολαύειν ἐν ἐρημίᾳ, πάντων ἀηδέ-
στατον, καὶ οὐδεὶς ἂν ὑπομείνειεν. ἔτι ἧ λυπη-
ρότερον, εἰ δεήσειε κοινωνεῖν τοῖς μὴ ἀγαπῶσι.
ποία μὲν οὖν εὐφροσύνη τοσοφιλὴς, εἰ μὴ καὶ
πίνοι παρείη τὰ μέγιστα; ποῖον ἧ συμπόσιον
ἡδὺ χωρὶς εὐνοίας παρόντων; ποία ἧ θυσία
κεχαρισμένη θεοῖς, ἄνευ τῶν συνδυωχου-
μένων; ἃ γὰρ καὶ τὰ ἀφροδίσια ταῦτα ἥδιστα
καὶ ἀνυβριστότατα, ὅσοι γίνεται μετὰ φιλίας
τῶν συόντων, καὶ ὅσοι μαστεύουσιν ἕτυοιαν

ἀνθρώποις, ἐπῆλθε παρὰ παιδικῶν, ἢ παρὰ γυναικῶν; πολλὴ μὲν ἡδονὴ ἐπωνυμίαι τῆς φιλίας, ὥσπερ ἀμέλει καὶ χρεία. ἡ δὲ μὴ κάλλους καὶ ὥρας γιγνομένη φιλία, δικαίως ἔρως ἀνόμασται, καὶ δοκεῖ κάλλιστον τῶν θεῶν. καὶ μὴν τά γε ὠφέλιμα φάρμακα, τοῖς μὲν νοσοῦσιν ὠφέλιμα: τοῖς δὲ ὑγιαίνουσι περιπλα. φιλίας δὲ ἀεὶ μὲν καὶ τοῖς ὑγιαίνουσι χρῆσθαι δεῖ, καὶ τοῖς νοσοῦσι: καὶ συμφυλάττει μὲν πλεῖστον, ἐπαρκεῖ δὲ πενίαι: καὶ λαμπρύνει μὲν δόξαν, ἀμαυροῖ δὲ ἀδοξίαν. μόνον δὲ πῦρ, τὰ μὲν δυσχερῆ πάντα μειοῖ, τὰ δὲ ἀγαθὰ πάντα αὔξει. ποία μὲν γὰρ συμφορὰ δίχα φιλίας, οὐκ ἀφόρητος; ποίαν δὲ εὐτυχίαν χωρὶς φίλων, οὐκ ἄχαρις; εἰ δὲ σκυθρωπὸν ἐρημία, καὶ πάντων φοβερώτατον, ἀ τὶς ἀνθρώπων ἐρημίαν χρὴ τοιοῦτον νομίζειν, ἀλλὰ τὶς τῶν φίλων, ἐπεὶ τό γε μὴ εὐνοούντων, πολλάκις ἐρημία κρείττων. ἐγὼ μὲν οὖν οὐδὲ εὐτυχίαν νενόμικα σημαίνειν, εἰ μηδένα ἔχει τὸ συνηδόμενον. ῥᾴων δ' ἂν τις συμφορὰν τὶς χαλε-

χαλεπωτάτων φέροι μὴ φίλων, ἢ μόνος εὐτυχίαν τὴν μεγίστην. ὡς ἐκεῖνον ἀθλιώτατον ἐγὼ κρίνω δικαίως, ὃς ἐν μὲν ταῖς συμφοραῖς πλείστους ἔχει τοὺς ἐφημερίους: ἐν δὲ ταῖς εὐτυχίαις, οὐδένα τὸν σωηδόμενον. ὧν μὲν πλεῖστοι μὲν καὶ ἄριστοι φίλοι, δυσμενὴς δὲ οὔτις ἄρα ἐστὶ, καὶ πολλοὶ μὲν οἱ ἀγαπῶντες, πλείους δὲ οἱ ἐπαινοῦντες, ψέγειν δὲ οὐδεὶς ὁ δυνάμενος, πῶς ὁ τοιοῦτος, ἢ τελέως εὐδαίμων; ὁ δὲ τοιοῦτος ἀνὴρ, πολλοὺς μὲν ἔχει τοὺς σωηδομένους, οὐδένα δὲ ἐφημέρους, καὶ διὰ τὸ εὐτυχεῖν ἐφ' ἅπασι καὶ διὰ τὸ πολλοὺς μὲν ἔχειν φίλους, μηδένα δὲ ἐχθρὸν. εἰ δὲ ὀφθαλμοὶ, καὶ γλῶτται, καὶ χεῖρες ἀνθρώπων τοῦ παντὸς ἄξιαι, οὐ μόνον τοὺς τὸ ἥδεσθαι ζῶντας, ἀλλὰ δυνάσθαι ζῆν, τούτων οὐκ ἔλαττον, ἀλλὰ μᾶλλον φίλοι χρήσιμοι. διὰ μὲν δὴ τῶν ὀφθαλμῶν, μόλις ὁρᾶν ἐστὶ τὸ ἐμποδὼν, διὰ τῶν φίλων καὶ τὰ ὑπὲρ γῆς πέρασι θεάσασθαι: καὶ διὰ μὲν τῶν ὤτων, οὐκ ἂν τις ἀκούσαι ἢ τῶν σφόδρα ἐγγύθεν, διὰ

δὲ τῶν εὐνοούντων, οὐδενὸς τ' ἀναγκαίων, ὁ-
ποιδήποτε ἀνήκοός ἐστι: καὶ τῇ μὲν γλώσσῃ,
μόνοις τοῖς παροῦσι σημαίνῃ, καὶ ταῖς χερσὶν,
εἰ καὶ ζφόδρα εἴη κραταιὸς, οὐκ ἂν ἐργάσαιτ'
ωλεῖον ἔργον, ἢ δύ' ἀνδρῶν: Διὰ δὲ τῶν φί-
λων, δυνάται καὶ πᾶσι Διαλέγεσθαι, καὶ πάν-
των ἔργων ἐφικνεῖσθαι. οἱ γὰ εὐνοοῦντες πάντα
ἐκείνῳ συμφέροντα καὶ λέγουσι καὶ δρῶσι.
τὸ δὲ δὴ πάντων παραδοξότατον. ἕνα γάρ
ὄντα, ἐγχωρεῖ ὅς ἂν πολύφιλος, πολλὰ μὲν
ἐν ἑαυτῷ χρόνῳ πράττειν, ὠφελεῖ πολλῶν ἅμα
βουλεύεσθαι, ὠφελεῖ πολλῶν δὲ ὁρᾶν, πολλὰ δὲ
ἀκούειν, ἐν πολλοῖς τ' ἅμα εἶναι τόποις ὁ καὶ
τοῖς θεοῖς χαλεπὸν: καὶ μηδαμοῦ μηδὲν ἔρη-
μον ἀπολείπεσθαι τῆς ἐκείνου ωφελείας: καὶ
τοίνυν ἐχ ἥκιστον αὐτῶν φίλων εὐπάθειαν, τὸν
ἀγαθὸν πεφύκασιν εὐφραίνειν, τῆς αὖ τινος
τέρψεως. πῶς γὰ οὐ μακαριστὸν, ὅτῳ πάρεστι,
πολλοῖς μὲν σώμασιν ἡδόμενον εὐφαίνεσθαι:
πολλαῖς δὲ Διανοίαις φροντίζοντα βουλεύ-
εσθαι: πολλαῖς τ' ψυχαῖς εὐτυχοῦντα χαίρειν; εἰ

δὲ

δὲ δόξα τοῖς φιλοτίμοις περισπούδαστον, πολλάκις ἂν εὐδοξοίη τῶν φίλων ἐπαινουμένων: εἰ δὲ πλοῦτος πέφυκεν εὐφραίνειν τοὺς κτωμένους, πολλάκις ἂν εἴη πλούσιος, ὁ τοῖς φίλοις μεταδιδοὺς τῶν παρόντων: καὶ τοίνυν ἡδὺ μὲν χαρίζεσθαι τοῖς ἐλευθέροις, ἀφθόνων ὄντων: ἡδὺ δὲ λαμβάνειν δῶρα, δικαίως λαμβάνοντα καὶ δι' ἀρετήν. ὁ τοίνυν τοῖς φίλοις χαριζόμενος, ἥδεται διδοὺς, ἅμα δὲ ὡς αὐτὸς κτώμενος. καὶ γὰρ δὴ παλαιός ἐστιν ὁ λόγος, ὁ κοινὰ ἀποφαίνων τὰ τῶν φίλων. οὐκοῦν ἀγαθῶν παρόντων τοῖς ἀγαθοῖς, οὐχ ἥκιστα ἂν εἴη ταῦτα κοινά. ἐν μὲν οὖν τοῖς ἄλλοις, οὐ πάντως ὑπερβάλλειν τοὺς ἰδιώτας ὁ τοιοῦτος βασιλεὺς βούλεται, πολλαχοῦ δὲ, καὶ ἐλάττων ἐκείνων, οἷον σχολῆς, ῥᾳθυμίας, ἀνέσεως: ἐν μόνῃ δὲ φιλίᾳ βούλεται πλεονεκτεῖν, καὶ ἄλλο μὲν οὐδὲν ἡγεῖται ποιεῖν ἄτοπον, ἀλλὰ καὶ ἀγάλλεται, μᾶλλον μὲν ὑπὸ τῶν νεωτέρων ἀγαπώμενος, ἢ τῶν γονέων, μᾶλλον δὲ ὑπὸ τῶν πρεσβυτέρων, οἳ τοὺς παῖδας ἀγαπῶσι, μᾶλλον δὲ

ὑπὸ

ὑπὸ τῶν συνόντων, οἱ σοῦ ἐξίσου συνόντας ἀγαπῶσι, μᾶλλον δὲ ὑπὸ τῶν ἀκοῇ μόνον ἀκουόντων ἀπὸ ἀλλήλων, οἱ σφόδρα ἔγγυς ὄντες ἀγαπῶσι: φιλοσυγγενέστατος δὲ ὢν, καὶ φιλοικειότατος, ἔσθ' ὅποι καὶ μεῖζον ἀγαθὸν νενόμικεν τὴν φιλίαν τῆς συγγενείας. ἄνευ μὲν γὰρ συγγενείας οἱ φίλοι χρήσιμοι: ἄνευ δὲ φιλίας οὐδὲ οἱ σφόδρα ἐγγὺς ὠφέλιμοι. τοσούτου δὲ ἀξίαν κρίνει τὴν φιλίαν, ὥς τε οὐδένα ἡγεῖται τῶν πώποτε ἠδικεῖσθαι ὑπὸ φίλου, ἀλλὰ τοῦτο δὴ τῶν λεγομένων, ἀδύνατον εἶναι: ὥς τε καὶ παθεῖν ὑπὸ φίλου κακῶς, τῶν ἀδυνάτων εἶναι κέκρικεν. ἅμα γάρ τις ἀδικῶν πεφώραται, καὶ δῆλον πεποίηκεν, ὅτι οὐκ ἦν φίλος. ὅσοι δὲ πεπόνθασι δεινὸν, ὑπ' ἐχθρῶν πεπόνθασι, λεγομένων μὲν φίλων, ἀγνοουμένων δὲ, ὅτι ἦσαν ἐχθροὶ. δεῖ οὖν καὶ μέμφεσθαι τὴν αὐτῶν ἄγνοιαν, ἀλλὰ μὴ ψέγειν τὸ τῆς φιλίας ὄνομα. καί τοι πάτερά γε ὄντα, οὐκ ἀδύνατον υἱὸν ἀδικῆσαι, καὶ παῖδα περὶ σοῦ γονέας ἐξαμαρτεῖν: ὁμοίως δὲ ἀδελφοὺς.

φοὺς, ἀλλήλων κακόντι ἀπολαῦσαι. οὗτος δὲ πάνυ τὴν φιλίαν ἱερὸν νενόμικεν, ὥς τε καὶ τοὺς θεοὺς αὐτῷ πειρᾶται ποιεῖν φίλους. ἐν ἅπασι μὲν οὖν τοῖς εἰρημένοις ἐστὶ συννοεῖν, ὅτι πάντα τἀναντία τοῖς τυράννοις κακὰ πρόσεστιν, ὧν ἐμνήσθημεν ἀγαθῶν, οὐχ ἥκιστα δὲ ἐν τῷ νῦν λεγομένῳ. πάντων γὰρ ἀπορώτατός ἐστι φιλίας τύραννος. οὐδὲ γὰρ δύναται ποιεῖσθαι φίλους. τοὺς μὲν γὰρ ὁμοίως αὐτῷ πονηροὺς ὄντας, ὑφορᾶται: ὑπὸ δὲ τῶν ἀνομοίων καὶ ἀγαθῶν, μισεῖται: ὁ δὲ μισούμενος, ἐχθρὸς, καὶ τοῖς ἀδίκοις, ἄδικος. οἱ μὲν γὰρ δικαίως μισοῦσιν αὐτὸν, οἱ δὲ τῶν αὐτῶν ἐπιθυμοῦντες, ἐπιβουλεύουσιν. ὥς τε ὁ μὲν Πέρσης ἕνα τινα ἔσχεν, ὀφθαλμὸν βασιλέως λεγόμενον, καὶ τοῦτον οὐ σπουδαῖον ἄνθρωπον, ἀλλὰ ἐκ τῶν ἐπιτυχόντων, ἀγνοῶν, ὅτι τοῦ ἀγαθοῦ βασιλέως οἱ φίλοι, πάντες εἰσὶν ὀφθαλμοὶ. Φιλοίκειος δὲ, καὶ φιλοσυγγενὴς, πῶς οὐκ ἂν εἴη διαφερόντως, ὅς γε τοὺς οἰκείους καὶ τοὺς συγγενεῖς, μέρος νενόμικε τῆς αὐτοῦ ψυχῆς,

καὶ

καὶ προνοεῖ γε οὐ μόνον, ὅπως μετέχωσι τῆς λεγομένης εὐδαιμονίας, πολὺ δὲ μᾶλλον, ὅπερ ἄξιοι δοκῶσι κοινωνεῖν τῆς ἀρχῆς καὶ τοῦτο ἐπούδακεν ἐξ ἅπαντος, ὅπως μὴ διὰ τὴν συγγένειαν αὐτοὺς, ἀλλὰ διὰ τὴν ἀρετὴν φαίνηται προτιμῶν· καὶ σοὶ μὲν ἐγγίζοντας, μάλιστα πάντων ἀγαπᾷ, καὶ φίλους ἀναγκαίους νενόμικεν. σοὶ μὲν γὰρ φίλος, ἐστὶ διαλύσασθαι δυσχέρειάν τινα ἐν αὐτοῖς ἐνιδόντα, ποτὲ δὲ σοὶ συγγενὴς, οὐκ οἷόν τε διαλύσασθαι τὴν συγγένειαν· ἀλλ' ὁποῖοί ποτ' ἂν ὦσιν, ἀνάγκη τοῦτο ἀκούειν τὸ ὄνομα. γυναῖκα δὲ, οὐ κόπτης μόνον, ἢ ἀφροδισίων κοινωνὸν νενόμικε· βελτίω δὲ καὶ ἔργων, καὶ σοὶ ξύμπαντος βίου συνεργόν. μόνος δὲ τὴν εὐδαιμονίαν, οὐχ ἡδυπάθειαν νενόμικε· πολὺ δὲ μᾶλλον καλοκἀγαθίαν. τὴν δὲ ἀρετὴν, οὐκ ἀνάγκην, ἀλλὰ βέλτιον· τὴν δὲ καρτερίαν, οὐ θαλαιπωρίαν, ἀλλ' ἀσφάλειαν· καὶ τὰς μὲν ἡδονὰς αὔξει τοῖς πόνοις, καὶ μείζους διὰ τοῦτο καρπεῖται, σοὶ δὲ πόνος ἐπιλαφρύνει τὸ ἔθει.

ταῦτα

ταῦτα δὲ ἡγεῖται συμφέροντα καὶ ἡδέα. ὁρᾷ γὰρ τοὺς μὲν ἰδιώτας, εἰ μέλλουσιν ὑγιαίνειν καὶ παραμένειν εἰς γῆρας, οὔποτε ἀργῷ καὶ ἀπόνῳ τῷ σώματι τροφὴν προσφέροντας, ἀλλὰ τοὺς μὲν τέχνας ἐργαζομένους, ἐνίας δ' αὐτῶν καὶ πολὺν ἐχούσας κάματον, καὶ τοὺς μὲν χαλκέας, τοὺς δὲ ναυπηγοὺς, τοὺς δὲ οἰκοδόμους: ὅσοι δὲ κέκτηνται γῆν, διαπονοῦντας πρότερον τὰ περὶ γεωργίαν: ὅσοι δὲ ἐν ἄστει διάγουσι, τῶν κατὰ πόλιν τὶ πράττοντας: τῶν τε σχολὴν ἀγόντων τὰ γυμνάσια μεστὰ, καὶ παλαίστρας, καὶ τοὺς μὲν τρέχοντας ἐν τοῖς δρόμοις, τοὺς δὲ αὖ παλαίοντας, τοὺς δὲ ἄλλό τι περὶ τὴν ἀγωνίαν, οὐκ ὄντας ἀθλητὰς, ἁπλῶς δὲ εἰπεῖν, ἑκάστων τῶν μὴ σφόδρα ἀνοήτων, καὶ σιτίων, καὶ λουτρῶν, καὶ ὑγιεινῶν, * καὶ πάντων, ὁ ἄρχων ἁπάντων τούτων διαφέροι, τῷ μὴ μάτην πονεῖν, μηδὲ τὸ σῶμα μόνον ἄυξειν, ἀλλ' ἕνεκα πράξεων. ἢ γὰρ ἦλθε πρός τι τῶν δεομένων προνοίας, ἢ ἔφθασεν, ὅπου δεῖ τάχους, ἢ κατήνυσέ τι τῶν οὐ ῥᾳδίων ἀνυσθῆναι, ἢ στρατιὰν ἐξέταζεν,

ἢ χω-

ἢ χώραν ἡμέρωσεν, ἢ πόλιν ᾤκισεν, ἢ ποτα-
μὸς ἔζευξεν, ἢ γῆν ὁδωτὴν ἐποίησεν: καὶ οὐχ
οὗτος δ' ἡγεῖται μακάριος, ὅτι ἔξεστι κε-
κτῆσθαι καλλίστους μὲν ἵππους, κάλλιστα δὲ
ὅπλα, καλλίστην δὲ ἐσθῆτα, καὶ τἆλλα ὁμοίως,
ἀλλ' ὅτι φίλους τοὺς καλλίστους: καὶ πολύ γε
αἴσχιον φιλίας ἐνδεέστερον ἔχειν τῶν ἰδιωτῶν,
ἢ τούτων τινὸς. ᾧ γὰρ ἐξ ἁπάντων ἀνθρώπων
ἐκλέξασθαι τοὺς πιστοτάτους ὑπάρχει: καὶ σχε-
δὸν οὐδείς ἐστιν, ὃς οὐκ ἂν ἄσμενος ὑπα-
κούσειεν αὐτῷ βουλομένῳ χρῆσθαι: πῶς οὐ κα-
ταγέλαστον, τὸ μὴ χρῆσθαι τοῖς σπουδαιοτά-
τοις; οἱ μὲν γὰρ πολλοὶ τῶν δυναστῶν τοὺς
ὁπωσδέποτε πλησίον γενομένους, καὶ τοὺς κο-
λακεύειν ἐθέλοντας, ἀπελαύνουσι, καὶ τούς
γε βελτίστους ἔτι μᾶλλον: ὁ δὲ ἐξ ἁπάντων
ποιεῖται τὴν ἐκλογὴν, ἄτοπον ἡγούμενος,
ἐκ νήσων μὲν ἵππους μεταπέμπεσθαι, ὅτι βελ-
τίους εἰσὶ τῶν Θεσσαλῶν, καὶ κύνας Ινδικὰς,
ἀνθρώποις δὲ μόνοις χρῆσθαι τοῖς ἐγγὺς. πάν-
τα γὰρ ὑπάρχει τούτῳ, δι' ὧν ἐπὶ φιλίᾳ
κτητὴν.

κτητὴν. προσάγεται γὰρ εἰς εὔνοιαν, τοὺς μὲν φιλοτίμους ἔπαινος: τοὺς δὲ ἡγεμονικοὺς, τῶν ἀρχῶν μεταλαμβάνειν, τοὺς δὲ αὖ πολεμικοὺς, τὸ πράττειν τὶ τῶν πολεμικῶν, τοὺς δὲ ἐπιμελεῖς, πράγματα διοικῶν, τούς γε μὴν φιλοστόργους, ἡ συνήθεια. τίς οὖν δύναται μᾶλλον ἄρχοντας ἀποδεικνύειν: τίς δε πλειόνων δεῖται τῶν ἐπιμελουμένων; τίς δὲ κύριος πλειόνων μεταδοῦναι πραγμάτων; τίνι δὲ ἔξεστιν ἑτέρῳ πιστεύειν τὰ πρὸς πόλεμον; αἱ παρὰ τίνος δὲ τιμαὶ φανερώτεραι; ἢ παρὰ τίνι δὲ εὐδοξοτέρα τράπεζα; εἰ δὲ ὠνητὸν ὑπάρχει φιλία, τίς εὐπορώτερος χρημάτων, ὥστε μηδένα ἔχειν τὲν ἀντιποιησόμενον; ἐπεὶ δὲ δεῖ ἄνθρωπον ὄντα φύσει, τῶν ἐν τῷ βίῳ διαφερόντων, καὶ τοῦτον τῶν ἄλλων τὶ ὥσπερ παράμυθιον ἔχειν: ὅθεν δὴ πολλὰ πολλοῖς προσέπεσε νοσήματα ἀγεννῆ καὶ λυμαινόμενα τὰς ψυχὰς: ἔτι δὲ καθαιροῦντα τὰ ἀξιώματα τῆς βασιλείας. ὁ μὲν ὑπὸ ὠδῆς ἁλοὺς, μινυρίζων διετέλει, καὶ θρηνῶν ἐν τοῖς θεά-

τροις. ἀμελήσας δὴ τῆς αὐτοῦ βασιλείας, τοῦ παλαιοῦς ὑποκρινόμενος ἠγάπα βασιλέας: ὁ δὲ αὐλήσεως ἐραστὴς ἐγένετο. ὁ δὲ ἀγαθὸς βασιλεὺς, τῶν μέν τοι τούτων οὐδέποτε ἀκροᾶται συνεχῶς, κάλλιστον δὲ εὕρεμα ἡγήσατο, κυνηγεσίαν, καὶ τούτῳ μάλιστα χαίρει, δι' οὗ τὸ μὲν σῶμα γίνεται ῥωμαλεώτερον: ἡ ψυχὴ δὲ, ἀνδρειοτέρα: τὰ πολεμικὰ δὲ ἅπαντα ἀσκεῖται. καὶ γὰρ ἱππεῦσαι καὶ δραμεῖν ἀναγκαῖον, καὶ ὑφίστασθαι πολλοὶ τῶν ἀλκίμων θηρίων, καὶ καῦμα ἀνέχεσθαι, καὶ ψύχος ὑπομένειν: πολλάκις δὲ καὶ λιμοῦ καὶ ψύχους πειραθῆναι: διὰ τὲ τὴν ἐπιθυμίας ἐθίζοντα καρτερεῖν μεθ' ἡδονῆς. οὐ μέν τοι τήν γε Περσικὴν θήραν. ἐκεῖνοι μὲν γὰρ παραδείσοις περιλαβόντες, ὁπότε ἐπιθυμήσειαν, ὥσπερ ἐν εἱρκτῇ, τὰ θηρία ἔκτειναν, ὡς μήτε ζητοῦντας πονεῖν, μήτε αὖ κινδυνεύοντας, ἅτε ἀσθενῆ καὶ δεδουλωμένα. ὁμοίως δὲ ἀφηροῦντο τὴν ἐπὶ τῷ εὑρεῖν χαρὰν, καὶ τὴν ἐπὶ τῷ φθάσαι σπουδὴν, καὶ τὴν ἐπὶ τῷ

συμ-

συμβῆναι ἀγωνίαν. ὅμοιον γὰρ ἐποίει, ὥσπερ οἱ πολεμικοὶ φάσκοντες εἶναι, ἀφέντες τὸ τοῖς πολεμίοις μάχεσθαι, τοὺς αἰχμαλώτους οἴκοι λαβόντες ἔκτειναν.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ λόγος Δ.

Φασί ποτε Αλέξανδρον, Διογένει συμβαλεῖν, οὐ πάνυ τι σχολάζοντα, πολλὴν ἄγοντι σχολήν. ἦν γὰρ ὁ μὲν βασιλεὺς Μακεδόνων τε καὶ ἄλλων πολλῶν: ὁ δὲ φυγὰς ἐκ Σινώπης. ταῦτα δὲ λέγουσι καὶ γράφουσι πολλοὶ, τὸν Αλέξανδρον οὐχ ἧττον θαυμάζοντες, ἢ ἐπαινοῦντες, ὅτι τοσούτων ἄρχων, καὶ τῶν τότε μέγιστον δυνάμενος, οὐχ ὑπερεώρα πένητος ἀνθρώπου συνουσίαν, νοῦν ἔχοντος καὶ δυναμένου καρτερεῖν. οἱ γὰρ ἄνθρωποι χαίρουσι φύσει πάντες, τιμωμένην ὁρῶντες φρόνησιν ὑπὸ τῆς μεγίστης ἐξουσίας

τε καὶ δυνάμεως. ὥς τε οὐ μόνον τἀληθῆ διηγοῦνται περὶ τῶν τοιούτων, ἀλλὰ καὶ αὐτοὶ πλάττουσιν ὑπερβαλλόντως, προσέτι καὶ τἆλλα ἀφαιρούμενοι τῶν φρονίμων, οἷον χρήματα καὶ τιμὰς, καὶ τὴν τοῦ σώματος δύναμιν, ὅπως διὰ μόνην δόξωσι τιμᾶσθαι τὴν ξύνεσιν. ὡς δὲ εἰκὸς ἐκείνοις γενέσθαι τὴν ξυνουσίαν ἐκείνην, εἴποιμ' ἄν, ἐπειδὴ καὶ τυγχάνομεν σχολὴν ἄγοντες ἀπὸ τῶν ἄλλων πραγμάτων. ἦν μὲν γὰρ, ὡς φάσιν, ὁ Αλέξανδρος, ἀνθρώπων φιλοτιμότατος, καὶ μάλιστα δόξης ἐξεταστὴς, καὶ τοῦ καταλιπεῖν ὡς μέγιστον αὐτοῦ ὄνομα ἐν πᾶσιν ἕλλησι καὶ βαρβάροις, καὶ ἐπεθύμησε τιμᾶσθαι σχεδὸν, οὐχ ὑπὸ τῶν ἀνθρώπων μόνον πανταχοῦ, ἀλλ' εἴπως δυνατὸν ἦν, ὑπό γε τῶν ὀρνίθων, καὶ τῶν ἐν τοῖς ὄρεσι θηρίων. τῶν μὲν οὖν ἄλλων ἁπάντων κατεφρόνει, καὶ οὐδένα ᾤετο ἀξιόμαχον αὐτῷ περὶ τούτου τοῦ πράγματος, οὔτε τὸν Πέρσην, οὔτε τὸ Σκύθην, οὔτε τὸν Ινδὸν, οὔτε ἐν τοῖς ἕλλησιν οὐδένα ἄνδρα, οὔτε πόλιν:

ᾐσθά-

ἠθάνερ γὰ, ὅτι μικρὸν διεφθαρμένοι πάντες εἰσὶ τὰς ψυχὰς, ὑπὸ τρυφῆς καὶ ἀργίας, καὶ ἓν τε κερδαίνειν, καὶ ἡδονῆς ἥττονες. ὥσπερ ἡ τοῦ Διογένους σωθησομένων τε λόγων, οὓς ἔλεγε, καὶ τῶν ἔργων, ὧν ἔπραξε, καὶ ὅπως διήνεγκε τὸν φυγὸν, ἐνίοτε μὲν καταφρόνει τῆς πενίας τοῦ ἀνδρὸς καὶ τῆς εὐτελείας, ἅτε νέος ὤν, καὶ τραφεὶς ἐν βασιλικῷ τύφῳ: πολλάκις δὲ ἐθαύμαζε καὶ ἐζηλοτύπει, τῆς τε ἀνδρείας τοῦτον, καὶ τῆς καρτερίας, καὶ μάλιστα τῆς δόξης, ὅτι τοιοῦτος ὢν πᾶσι τοῖς ἕλλησι γνώσκοιτο καὶ θαυμάζοιτο, καὶ οὐδεὶς ἐδύνατο τῶν ἄλλων, οἷος ἐκεῖνος ἠνέσθη τῇ φιλοτιμίᾳ: καὶ ὅτι αὐτῷ μὲν ἔδει τῆς Μακεδόνων φάλαγγος, καὶ τοῦ Θετταλῶν ἱππικοῦ, καὶ Θρᾳκῶν καὶ Παιόνων, καὶ ἄλλων πολλῶν, εἰ μέλλοι βαδίζειν, ὅποι βούλοιτο, καὶ τυγχάνειν, ὧν ἐπιθυμοῖ: ὁ δὲ μόνος ἀπῆει πάνυ ἀσφαλῶς οὐ μόνον ἡμέρας, ἀλλὰ καὶ νυκτὸς, ἔνθα αὐτῷ ἐδόκει. καὶ ὅτι αὐτὸς μὲν χρυσίου καὶ ἀργυρίου παμπόλλου ἐδεῖτο, ὥστε ἐπιτελέσαι τὰ, ὧν ἐβού-

λετο: ἔτι δὲ εἰ μέλλοι πειθομένους ἕξειν Μακεδόνας, καὶ τοὺς ἄλλους ἕλληνας, θεραπευτέον αὐτῷ τούς τε ἄρχοντας καὶ τὸν ἄλλον ὄχλον, λόγοις τε καὶ δώροις πολλάκις: ὁ δὲ οὐδένα ἀνθρώπων ὑπῄει θωπεύων, ἀλλὰ τἀληθῆ πρὸς ἅπαντας λέγων, καὶ οὐδεμίαν δραχμὴν κεκτημένος, ὡς ἐβούλετο ἔπραττε, καὶ τῶν προκειμένων οὐδενὸς ἀπετύγχανε, καὶ τὸν βίον ἔζη μόνος, ὃν ἡγεῖτο ἄριστον καὶ εὐδαιμονέστατον, καὶ οὐκ ἂν ἠλλάξατο τὴν ἐκείνου βασιλείαν, οὐδὲ τὸν τῶν Περσῶν τε καὶ Μήδων πλοῦτον, ἀντὶ τῆς ἑαυτοῦ πενίας. Διὰ ταῦτα δὴ δακνόμενος, εἴτις αὐτοῦ διοίσει, ῥαδίως οὕτως καὶ ἀπραγμόνως ζῶν, καὶ προσέτι οὐχ ἧττον ὀνομαστὸς ἔσοιτο: τυχὸν δέ τι καὶ ὠφεληθήσεσθαι νομίζων ἀπὸ τῆς συνουσίας τἀνδρὸς, πάλαι μὲν ἐπεθύμει θεάσασθαι τὸν ἄνδρα,, καὶ συγγενέσθαι αὐτῷ. ἐπεὶ δὲ ἧκεν εἰς Κόρινθον καὶ τάς τε πρεσβείας ἀπεδέξατο τὰς παρὰ τῶν ἑλλήνων, καὶ τἆλλα τὰ τῶν ξυμμάχων διῴκησεν, ἔφη τοῖς περὶ αὐτὸν: ὅτι σχολάσαι

λάσαι τὶ βούλοιτο, καὶ ᾤχετο οὐκ ἐπὶ θύρας τοῦ Διογένους. οὐ γὰρ ἦσαν αὐτῷ θύραι, οὔτε μείζους, οὔτε ἐλάττους, οὔτε οἶκος ἴδιος, οὐδὲ ἑστίαι, καθάπερ τοῖς μακαρίοις: ἀλλὰ οἴκοις μὲν ἐχρῆτο ταῖς πόλεσι καὶ ἐνταῦθα διέτριβεν, ἐν τοῖς κοινοῖς τὲ καὶ ἱεροῖς, ἅπερ ἱδρύονται τοῖς θεοῖς: ἑστίαν δὲ ἐνόμιζε τὴν γῆν ἅπασαν, ἥπερ ἐστὶ κοινὴ τῶν ἀνθρώπων ἑστία καὶ τροφὸς· καὶ τότε ἐτύγχανεν ἐν τῷ Κρανείῳ Διατρίβων μόνος. οὐδὲ γὰρ μαθητάς τινας, οὐδὲ τοιοῦτον περὶ αὐτὸν ὄχλων εἶχεν, ὥσπερ οἱ Σοφισταὶ καὶ αὐληταὶ, καὶ οἱ διδάσκαλοι τῶν χορῶν. προσῆλθεν οὖν αὐτῷ καθημένῳ, καὶ ἠσπάσατο: καὶ ὃς ἀνέβλεψε πρὸς αὐτὸν γοργὸν, ὥσπερ οἱ λέοντες, καὶ ἐκέλευσεν ἀποστῆναι Σμικρὸν: ἐτύγχανε γὰρ ἀλεαινόμενος πρὸς τὸν ἥλιον. ὁ οὖν Αλέξανδρος, εὐθὺς ἠγάσθη τοῦ ἀνδρὸς τὸ θάρσος, καὶ τὴν ἡσυχίαν, ὅτι οὐ κατεπλάγη ἐπιστάντος αὐτῷ. καὶ γάρ πως πεφύκασιν οἱ μὲν θαῤῥαλέοι τοὺς θαῤῥαλέους φιλεῖν: οἱ δὲ δειλοὶ, οὗτοι μὲν ὑφορῶνται καὶ μισοῦσιν,

ὡς ἐχθρὸς, σὺ δὲ ἀγωνεῖς ποιήσεται καὶ ἀγαπῶσιν. ὅθεν τοῖς μὲν ἀληθεία καὶ παῤῥησία πάντων ἐστὶν ἥδιστον, τοῖς δὲ κολακεία καὶ τὸ ψεῦδος: καὶ ἀκούσεσιν ἡδέως, οἱ μὲν τὸ ποιὸς χάριν ὁμιλοῦντων, οἱ δὲ τὸν ποιὸς ἀλήθειαν. ὁ δὲν Διογένης ὀλίγον ὑπιχὼν, ἤρετο αὐτὸν: ὅς ἐις εἶη, καὶ τί βουλόμενος ἥκοι ποιὸς αὐτὸν, ἢ, ἔφη, τὰ ἐμῶν ἂν ληψόμενος. ἦ γὰρ, ἔφη, χρήματα ἔστι σοι, καὶ ἔχοις, ὅτε αὖ μεταδώης; πολλάκις εἶπε καὶ πολλοῦ ἄξια, ὧν σὺ οὐκ οἶδα εἶπόν δωήσῃ μεταλαβεῖν, ἃ μήτε ὁράς, οὐδὲ λέβητας, οὐδὲ κρατῆρας, οὐδὲ κλίνας καὶ τραπέζας τυγχάνω κεκτημένος, ὥς τινες φασὶ κεκτῆσθαι Δαρεῖον ἐν Πέρσαις. τί γάρ; ἔφη. σὺ οὐκ οἶδας Αλέξανδρον τὸν βασιλέα; τό γε ὄνομα, ἔφη, ἀκούω πολλῶν λεγόντων, ὡς κολοιῶν πετωμένων: αὐτὸν δὲ οὐ γινώσκω. ἃ γὰρ εἰμι ἔμπειρος αὐτοῦ τῆς Διανοίας. ἀλλὰ νῦν, ἔφη, γνώσῃ καὶ τὴν Διάνοιαν. ἥκω γὰρ ἐπ' αὐτὸ τοῦτο, ἐμαυτόν γε παρέξων σοι καταμαθεῖν, καὶ σὲ ὀψόμενος: ἀλλὰ χαλεπῶς,

ἔφη,

ἔφη, με ἂν ἴδοιεν ὥσπερ τὸ φῶς, οἱ τὰ ὄμματα ἀσθενεῖς: τό δε δὴ μοι εἰπὲ: σὺ ἐκεῖνος εἶ Αλέξανδρος, ὃν λέγουσιν ὑποβολιμαῖον; καὶ ὃς ἀκούσας, ἠρυθρίασε μὲν, καὶ ὠργίσθη, κατέσχε δὴ ἑαυτὸν, μετενόει δὲ, ὅτι εἰς λόγους ἠξίωσεν ἐλθεῖν ἀνδρὶ σκαιῷτε καὶ ἀλαζόνι, ὡς αὐτὸς ἐνόμιζεν. ὁ οὖν Διογένης καταμαθὼν αὐτὸν τεταραγμένον, ἐβουλήθη μεταβαλεῖν αὐτοῦ τὴν ψυχὴν, ὥσπερ οἱ παῖδες τοῖς ἀστραγάλοις. εἰπόντος δὴ αὐτοῦ, πόθεν δέ σοι ἐπῆλθεν ἡμᾶς ὑποβολιμαίους εἰπεῖν; ὁπόθεν, ἔφη, καὶ τὴν μητέρα σου ἀκούω ταῦτα περὶ σοῦ λέγειν: ἢ οὐκ Ολυμπιὰς ἐστὶν ἡ εἴπουσα, ὅτι οὐκ ἐκ Φιλίππου τυγχάνεις γεγονὼς, ἀλλ' ἐκ Δράκοντος, ἢ Αμμωνος, ἢ οὐκ οἶδα, ὅτου ποτὲ θεῶν, ἢ ἀνθρώπων, ἢ θηρίων, καὶ τοιοῦτος ὤν, ὑποβολιμαῖος ἂν εἴης. ἐνταῦθα ὁ Αλέξανδρος ἐμειδίασε, καὶ ἥσθη ὡς οὐδέποτε, καὶ ἔδοξεν αὐτῷ ὁ Διογένης οὐ μόνον οὐ σκαιὸς, ἀλλὰ καὶ δεξιώτατος ἁπάντων, καὶ μόνος εἰδὼς χαρίζεσθαι. τί, οὖν, ἔφη, πό-

τερον οὖν ἀληθὴς ἢ ψευδὴς εἶναι δοκεῖ ὁ λι-
γος, ἢ οὐκ ἄδηλόν ἐστιν; ἔφη. ἄδηλον, ἔφη,
ἐστὶν. ἐὰν μὲν γὰρ ᾖς σώφρων καὶ ἀνδρεῖος καὶ
τὴν τοῦ Διός ἐπιστάμενος τέχνην τὴν βασιλι-
κὴν, οὐθέν σε κωλύει τοῦ Διὸς εἶναι, ἐπεὶ τοῦτό
γε καὶ Ὁμηρόν φασι λέγειν: ὅτι πατήρ ἐστιν
ὁ ζεὺς, ὥσπερ τῶν θεῶν, καὶ τῶν ἀνδρῶν: ἀλλ'
οὐ τῶν ἀνδραπόδων, οὐδὲ τῶν φαύλων τε καὶ
ἀγεννῶν οὐδενὸς. ἐὰν δὲ δειλὸς ᾖς, καὶ τρυ-
φερὸς, καὶ ἀνελεύθερος, οὔτέ σοι θεῶν, οὔτε
ἀνθρώπων τῶν ἀγαθῶν προσήκοι: ἀλλὰ τοῖς
μὲν ἐν Θήβαις Σπαρτοῖς ποτὲ λεγομένοις,
σημεῖον λέγεται εἶναι τοῦ γένους, λόγχη τὶς,
οἶμαι, ἐπὶ τοῦ σώματος: ὅς τις δὲ τοῦτο τὸ ση-
μεῖον μὴ ἔχοι, οὐ δοκεῖ τῶν Σπαρτῶν εἶναι.
τοῖς δὲ τοῦ Διὸς ἐκγόνοις, οὐκ οἴει σημεῖον εἶναι
τῇ ψυχῇ, ἐξ οὗ φανεροὶ ἔσονται, τοῖς δυναμέ-
νως γνωρίζειν, εἴτε ἐξ ἐκείνου γεγονότες εἰσὶν,
εἴτε μὴ; πάνυ οὖν ἥσθη τούτῳ τῷ λόγῳ Αλέ-
ξανδρος. μετὰ δὲ τοῦτο αὐτὸν ἤρετο, πῶς ἂν,
ἔφη, κάλλιστα βασιλεύοι; καὶ ὃς, δεινὸν
ὑπο-

ὑποβλέψας, ἀλλ' οὐδὲ, ἔφη, ἔστι βασιλεύειν κακῶς: οὐ μᾶλλον, ἢ κακῶς ἀγαθὸν εἶναι. ὁ γὰρ βασιλεὺς, ἀνθρώπων ἄριστον ἐστὶν, ἀνδρειότατος ὢν, καὶ δικαιότατος, καὶ φιλανθρωπότατος, καὶ ἀνίκητος ὑπὸ παντὸς πόνου καὶ πάσης ἐπιθυμίας. ἢ σὺ οἴει τὸν ἀδύνατον ἡνιοχεῖν, ἡνίοχον τοῦτον εἶναι; ἢ τὸν ἄπειρον τοῦ κυβερναῦ, κυβερνήτην; ἢ τὸν οὐκ ἐπιστάμενον ἰᾶσθαι, ἰατρὸν; οὐδ' ἂν πάντες φῶσιν ἕλληνες καὶ βάρβαροι, καὶ πολλὰ διαδήματα καὶ σκῆπτρα καὶ τιάρας προσάψωσιν αὐτῷ, καθάπερ τὰ δέρια τοῖς ἐκτιθεμένοις παιδίοις, ἵνα μὴ ἀγνοῆται. καθάπερ οὖν οὐκ ἔστι κυβερνᾶν μὴ κυβερνητικῶς, οὕτως οὐδὲ βασιλεύειν μὴ βασιλικῶς. καὶ ὁ Αλέξανδρος φοβηθεὶς, μὴ ἄρα ἄπειρος ἀναφανῇ τῆς βασιλικῆς ἐπιστήμης, καὶ τίς, ἔφη, σοι δοκεῖ τὴν τέχνην ταύτην παραδιδόναι; ἢ ποῖ δεῖ πορευθέντα μαθεῖν: ὁ οὖν Διογένης εἶπεν: ἀλλ' ἐπίστασαι αὐτὴν, εἴπερ ἀληθὴς ὁ τῆς Ολυμπιάδος λόγος, καὶ γέγονας ἐκ τοῦ Διὸς. ἐκεῖνος

γὰρ

γάρ ἐστιν, ὁ τὴν ἐπιστήμην ταύτην, πρῶπος καὶ μάλιστα ἔχων, καὶ οἷς ἐθέλει μεταδιδοὺς: οἷς δὲ ἂν μεταδῷ, πάντες οὗτοι Διὸς παῖδες εἰσί τε καὶ λέγονται: ἢ σὺ οἴει τοὺς σοφιστὰς εἶναι τοὺς διδάσκοντας βασιλεύειν; ἀλλ' ἐκείνων μὲν οἱ πολλοὶ οὐχ ὅπως βασιλεύειν, ἀλλ' οὐδὲ ζῆν, ἴσασιν. οὐκ οἶσθα, ἔφη, ὅτι διττὴ ἐστὶ παιδεία: ἡ μέν τις δαιμόνιος, ἡ δὲ ἀνθρωπίνη. ἡ μὲν οὖν θεία μεγάλη, καὶ ἰσχυρὰ, καὶ ῥαδία: ἡ δὲ ἀνθρωπίνη, μικρὰ, καὶ ἀσθενὴς, καὶ πολλοὺς ἔχουσα κινδύνους, καὶ ἀπάτην οὐκ ὀλίγην. ὅμως δὲ ἀναγκαία προσγενέσθαι ἐκείνη, εἰ ὀρθῶς γίγνοιτο, καὶ καλοῦσιν οἱ πολλοὶ ταύτην μὲν παιδείαν, καθάπερ οἶμαι παιδείαν, καὶ νομίζουσι, τὸν πλεῖστα γράμματα εἰδότα Περσικά τε καὶ Ἑλληνικὰ. καὶ τὰ Σύρων, καὶ τὰ Φοινίκων, καὶ πλείστοις ἐντυγχάνοντα βιβλίοις, τοῦτον σοφώτατον, καὶ μάλιστα πεπαιδευμένον. πάλιν δὲ, ὅταν ἐντύχωσι τῶν τοιούτων τισὶ μοχθηροῖς, καὶ δειλοῖς, καὶ φυλαργύροις, ὀλίγου ἄξιον φασὶ τὸ πράγμα,

καὶ

καὶ τὸν ἄνθρωπον, τὴν δὲ ἑτέραν, ἐνίοτε μὲν παιδείαν, ἐνίοτε δὲ ἀνδρείαν, καὶ μεγαλοφροσύνην: καὶ οὕτω δὴ δίχα παιδείας ἐκάλουν οἱ πρότερον, οὗτ τῆς ἀγαθῆς παιδείας ἐπιτυγχανόντας, καὶ οὗτ τὰς ψυχὰς, ἀνδρείους καὶ πεπαιδευμένους, ὡς Ηρακλέα ἐκεῖνον. οὐκ οὖν ὅς τις ἂν ἐκείνην τὴν παιδείαν ἔχει καλῶς πεφυκὼς, ῥαδίως καὶ ταύτης γίνεται μέτοχος, ὀλίγα ἀκούσας, καὶ ὀλιγάκις αὐτὰ τὰ μέγιστα καὶ κυριώτατα, καὶ μεμύηται, καὶ φυλάττει ἐν τῇ ψυχῇ: καὶ οὐδεὶς ἂν αὐτὸν ἔτι τούτων ἀφέλοιτο, οὔτε καιρὸς, οὔτε ἄνθρωπος, οὔτε Σοφιστὴς: ἀλλ' οὐδ' ἂν πυρὶ τὶς ἐγκαῦσαι βουλόμενος: ἀλλὰ κἂν ἐμπρήσῃ τὶς τὸν ἄνθρωπον, ὥσπερ τὸν Ηρακλέα φασὶν αὐτὸν ἐμπρῆσαι, μένειν αὐτοῦ τὰ δόγματα ἐν τῇ ψυχῇ, καθάπερ, οἶμαι, τῶν κατακαιομένων νεκρῶν, οὗτ ὀδόντας φασὶ διαμένειν, οὗτ ἄλλου σώματος διαπανηθέντος ὑπὸ τοῦ πυρὸς: οὐ γὰρ μαθεῖν, ἀλλ' ὑπομνησθῆναι δεῖται μόνον: ἔπειτα εὐθὺς εἰδέτε καὶ ἐγνώρισεν,

ὡσὶν

ὡσὰν ἐξ ἀρχῆς τὰ δόγματα ἔχων ταῦτα, ἐν τῇ αὐτοῦ διανοίᾳ: προσέτι δὲ, ἐὰν μὲν ἀνδρὶ πειπέσῃ, ὥσπερ ὁδὸν ἐπισταμένῳ, ῥαδίως ἐκεῖνος ὑπέδειξεν αὐτῷ, καὶ μαθὼν εὐθὺς ἄπεισιν. ἐὰν δὲ ἀγνοοῦντι καὶ ἀλαζόνι σοφιστῇ κατατρίψῃ, περιάγειν αὐτὸν, ὁτὲ μὲν πρὸς ἀνατολὰς, ὁτὲ δὲ πρὸς δύσιν, ὁτὲ δὲ πρὸς μεσημβρίαν ἕλκων, οὐδὲν αὐτὸς εἰδὼς, ἀλλὰ εἰκάζων καὶ πολὺ πρότερον αὐτὸς ὑπὸ τοιούτων ἀλαζόνων πεπλανημένος: ὥσπερ αἱ ἀμαθεῖς καὶ ἀκόλαστοι κύνες, ἐν τῇ θήρᾳ μηδὲν ξυνιεῖσαι, μηδὲ γνωρίσασαι τὸ ἴχνος, ἐξαπατῶσιν ἄλλας τῇ φωνῇ καὶ τῷ σχήματι, ὡς εἰδυίαί τε καὶ ὁρῶσαι, καὶ πολλαὶ συνέπονται ταύταις αἱ ἀφρονέσταται σχεδὸν, ταῖς μάτην φθεγγομέναις: τούτων αἱ μὲν ἄφθογγοι καὶ σιωπῶσαι, μόνον αὐταὶ ἐξαπατῶνται: αἱ δὲ προπετέσταται καὶ ἀνοητόταται, μιμούμεναι τὰς πρώτας θορυβοῦσι, καὶ μιμοῦνται ἄλλας ἐξαπατᾶν. τοιοῦτον εὕροις ἂν, καὶ περὶ τοὺς καλουμένους σοφιστὰς, πολὺν

ὄχλον

ὄχλον ἐνιότε συνεπόμενον ἀνθρώπων ἠλιθίων, καὶ γνώσῃ, ὅτι οὐδὲν διαφέρει σοφιστὴς ἀνθρώπου εὐνούχου ἀκολάστου. καὶ ὃς ἀκούσας, ἐθαύμασε κατὰ τὶ σοφίστην εὐνούχῳ παρέβαλεν, καὶ ἤρετο αὐτὸν: ὅτι εἶπε τῶν εὐνούχων φασὶν οἱ ἀσελγέστατοι, ἄνδρες εἶναι; καὶ ἐρᾶν τῶν γυναικῶν, καὶ συγκαθεύδουσιν αὐταῖς, καὶ ἐνοχλοῦσι: γίγνεται δ' οὐδὲν πλέον: οὐδ' ἂν τάς τε νύκτας καὶ τὰς ἡμέρας συνῶσιν αὐταῖς: καὶ παρὰ τοῖς σοφισταῖς πολλοὺς εὑρήσεις γηράσκοντας ἀμαθεῖς, πολὺ κάκιον πλανωμένους ἐν τοῖς λόγοις, ἢ τὸν Οδυσσέα φησὶν Ομηρος ἐν τῇ θαλάσσῃ: καὶ πρότερον εἰς ἅδου ἂν ἀφίκοιτο, ὥσπερ ἐκεῖνος, ἢ γένοντο ἀνὴρ ἀγαθὸς, λέγων τε καὶ ἀκούων; καὶ σὺ ἐπείπερ οὕτω πέφυκας, ἐὰν τύχῃς ἐπισταμένου ἀνδρὸς, ἱκανή σοι ἔτι μία ἡμέρα, πρὸς τὸ συνιδεῖν τὸ πράγμα καὶ τὴν τέχνην; καὶ οὐδὲν ἔτι δεήσῃ ποικίλων σοφισμάτων ἢ λόγων: ἐὰν δὲ μὴ τύχῃς διδασκάλου τοῦ Διὸς, ἢ ἄλλου τοιούτου, ταχὺ καὶ σαφῶς φράζοντος;

ἃ δεῖ

ἀ δῆ ποιῆν, οὐδέν σοι πλέον, ἀδὲ αὖ ὅλον καταρίψης τὸν βίον, ἀγρυπνῶντι καὶ ἀσιτ, περὶ τοῖς καινοδαίμοσι σοφισαῖς. τῦτο ἦ οὐκ ἐγὼ λέγω νῦν, ἀλλ' Ομηρος ἐμοῦ πρότερος: ἢ οὐκ ἔμπειρος εἶ τῶν Ομήρου ἐπῶν; ὁ γὰ Αλέξανδρος μέγιστον ἐφρόνει: ὅτι ἠπίστατο μόνη, τὸ ἕτερον ποίημα ὅλον, τὴν Ιλιάδα: πολλὰ γὰ καὶ τῆς Οδυσσείας. Θαυμάσας ἔν ἔφη. καὶ που διείλεκται περὶ τούτων Ομηρος; ὅπου, ἔφη, ὅπου τὸν Μίνω λέγει τοῦ Διὸς ὁαριστῆ: ἢ ἀ τὸ ὁαρίζειν ὁμιλεῖν ἐστίν; οὐκοῦν ὁμιλητὴν ἔ Διὸς φησὶν αὐτὸν εἶναι: ὥσπερ αὖ, εἰ ἔφη μαθητήν. ἆρ' ἔν τῳ πόνων ἄλλων αὐτὸν οἴει μανθάνειν τε καὶ ὁμιλεῖν τῷ Διὶ πραγμάτων, ἢ τῶν δικαίων καὶ βασιλικῶν, ἐπεί τοι καὶ λέγεται δικαιότατος ὁ Μίνως πάντων γενέσθαι; πάλιν γὰ, ὅταν λέγῃ διοτρεφῆς σοῦ βασιλεύς, καὶ Διὶ φίλους, ἄλλοτι οἴει λέγειν αὐτὸν, ἢ τῷ τρόφιν αὐτ, ἣν ἔφη, εἶναι διδασκαλίαν καὶ μαθητείαν; ἢ σὺ οἴει λέγειν αὐτ τὸ ἔ Διὸς σοῦ βασιλέας.

λέας, ὥσπερ ὑπὸ τίτθης γάλακτι, καὶ οἴνῳ, καὶ σιτίοις, ἀλλὰ σὺν ἐπιστήμῃ, καὶ ἀληθείᾳ; ὁμοίως δὴ καὶ φιλίαν, σὺν ἄλλῳ, ἢ τῷ αὐτὰ βουλεύεσθαι καὶ διανοεῖσθαι, ὁμόνοιάν τινα εἶναι. ἔστω δὲ δῆπου, καὶ τοῖς ἀνθρώποις δοκοῦσιν οἱ φίλοι, πάντων μάλιστα ὁμονοεῖν, καὶ μὴ διαφέρεσθαι περὶ μηδενός. ὡς ἂν ἕν τῷ διὶ φίλῳ εἴη, καὶ ὁμονοῆ πρὸς ἐκεῖνον, ἐφ' ὅτῳ ἀδίκου τινὸς ἐπιθυμεῖ πράγματος; ἢ πονηρόν τε καὶ αἰσχρὸν διανοηθήσεται; αὐτὸ δὴ τοῦτο ἔοικεν δηλοῦν, καὶ ὅταν ἐγκωμιάζων τινὰ λέγῃ τῶν βασιλέων: ποιμένα λαῶν. ἐπεὶ δὲ ποιμένος οὐκ ἄλλό τι ἔργον, ἢ προνοια, καὶ σωτηρία, καὶ φυλακὴ προβάτων, ὡς τε κατοπτεύειν, ἃ μὰ δίαν καὶ σφάττειν, καὶ δέρειν. καί τοι ἐνίοτε πολλὰ πρόβατα ἐλαύνει μάγειρος εἰς ὠνησόμενος: ἀλλὰ πλεῖσον διαφέρει μαγειρικὴ, καὶ ποιμενικὴ, σχεδὸν ὅσον βασιλικὴ τε καὶ τυραννὶς. ὅτε ἐν Ξέρξης καὶ Δαρεῖος ἄνωθεν ἐκ Σούσων ἤλαυνον, πολὺν ὄχλον Περσῶν τε καὶ Μήδων, καὶ Σακῶν,

καὶ Αράβων, καὶ Αἰγυπτίων δεῦρο εἰς τὴν ἑλλάδα ἀπολούμενον, πότερον βασιλικὸν ἢ μαγειρικὸν ἔπραττον ἔργον, λείαν ἐλαύνοντες κατακοπησομένην; καὶ ὁ Αλέξανδρος, σοὶ, ἔφη, ὡς ἔοικεν, οὐ δοκεῖ βασιλεὺς εἶναι, οὐδὲ ὁ μέγας βασιλεὺς. καὶ ὁ Διογένης μειδιάσας, οὐ μᾶλλον, εἶπεν, ὦ Αλέξανδρε, ἢ ὁ Σμικρὸς δάκτυλος. ἢ οὐ δ' ἄρα ἐγὼ, ἔφη, καταλύσας ἐκεῖνον, μέγας βασιλεὺς ἔσομαι; οὐ τούτου γε ἕνεκα, εἶπεν ὁ Διογένης. οὐδὲ γὰρ τῶν παίδων ὁ νικήσας, ὅταν παίζωσιν, ὡς αὐτοὶ φασὶ βασιλέας, τῷ ὄντι βασιλεύς ἐστιν. οἱ μέν τοι παῖδες φασὶν, ὅτι ὁ νενικηκὼς καὶ λεγόμενος βασιλεὺς, σκυτοτόμου υἱός ἐστιν, ἢ τέκτονος, καὶ δεῖ μανθάνειν αὐτὸν τὴν τοῦ πατρὸς τέχνην. ὁ δὲ ἀποδρὰς, παίζει μέθ' ἑτέρων; καὶ τότε μάλιστα ὄιεται σπουδάζειν, ἐνίοτε δὲ καὶ δοῦλος καταλιπὼν τὸν δεσπότην. ἴσως οὖν καὶ ὑμεῖς τοιοῦτόν τι ποιεῖτε, ἑκάτερος ὑμῶν παῖδας ἔχοντες τοὺς φιλονεικοῦντας: ὁ μὲν Πέρσας,

καὶ

κὴ οὐ ἄλλους οὐ κατὰ τὴν Ασίαν: σὺ ἢ Μακεδόνας τε κ οὐ Ελληνας: κ ὥσπερ ἐκεῖνοι ζφαίρᾳ ζοχάζονται ἀλλήλων, ὁ ἢ πλησγεὶς ἥττηται, κ σὺ νικᾷς Δαρείου ζοχάζη, κ σοῦ ἐκεῖνος, κ τυχὸν αὖ πλήξαις τε κ ἐκβάλοις αὐτὸν. ἐπισκοπώτερος δὲ εἶναί μοι δοκεῖς. ἔπειτα οἱ μὲν ἐκείνου πρότερον ὄντες, μὴ σοῦ ἔσονται, κ ὑποκύψουσι, κ σὺ ὠνομασθήσῃ βασιλεὺς ἁπάντων. ὁ δὲ Αλέξανδρος πάλιν ἐλυπεῖτο κ ἤχθετο. σοῦδὲ δὲ ζῆν ἐβούλετο, εἰ μὴ βασιλεὺς εἴη τῆς Εὐρώπης, κ τῆς Ασίας, κ τῆς Λιβύης, κ εἴ που τίς ἐστι νῆσος ἐν τῷ Ωκεανῷ πειμένη. ἐπεπόνθει γὰρ τοιοῦτον, ἅ φησιν Ομηρος τὸν Αχιλλέα νεκρὸν ποτε πυθόμενον. ἐκεῖνος μὲν δὲ ἔλεγλυ, ὅτι ζῶν βούλοιτο θητεύειν,

ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσι νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.

ὁ δὲ Αλέξανδρος δοκεῖ μοι ἐλέσθαι κὰν κὴ τοῦ τέλους μέρους τῶν νεκρῶν ἄρχειν ἀποθανών, ἢ ζῆν τὸν ἅπαντα χρόνον θεὸς

γιόμενος, μόνον εἰ μὴ βασιλεὺς γένοιτο τῶν ἄλλων θεῶν: μόνος δι' ἴσως, οὐκ ἂν ὑπερεῖδε τοῦ Διὸς, εἰ γε βασιλέα καλοῦσιν αὐτὸν οἱ ἄνθρωποι: ὅθεν γε κολάζειν αὐτὸν ὁ Διογένης. σὺ μέν τοι παίζειν ἔφη δοκεῖς. ἐγὼ δὲ οὐ Δαρεῖον ἔλω, καὶ ἔτι τῶν Ἰνδῶν βασιλέα; οὐδέν με κωλύει τῶν πώποτε βασιλέων μέγιστον εἶναι. τί γὰρ ἐμοὶ λοιπὸν ἐστὶ κρατῆσαι Βαβυλῶνος, καὶ Σούσων, καὶ Ἐκβατάνων, καὶ τῶν ἐν Ἰνδοῖς πραγμάτων; καὶ ὃς, ὁρῶν αὐτὸν φλεγόμενον ὑπὸ τῆς φιλοτιμίας κακίστῃ ψυχῇ, ὅλον τεθαμμένον, καὶ φερόμενον, ὥσπερ αἱ γέφυραι, οἵ ποτε ὁρμήσασιν, ἀποτείνασαι ἑαυτὰς, πέπτωκε: ἀλλ' οὐδὲν ἔξεις, ἔφη, πλέον ἀδένος, οὐδὲ τῷ ὄντι βασιλεύσεις, ἐφ' ἧς ἔχεις ταύτης διανοίας, ἀδὲ ἂν ὑπεραλλάμενος τὸ ἐν Βαβυλῶνι τεῖχος, ἅτως ἕλῃς τὴν πόλιν, ἀλλὰ μὴ διορύξαντων ἔξωθεν καὶ ὑπορύξαντων: ὁμοίως γὰρ τὸ ἐν Σούσοις, καὶ τὸ ἐν Βάκτροις: ἀδὲ ἂν ἑτέραν περιβλάβοις μείζω τῆς Ἀσίας ἤπειρον, τὸν Ὠκεανὸν διά-

διανηξάμενος: οὐδ' ἂν Κῦρον μιμησάμενος κατὰ τὸν ποταμὸν εἰσρυῆς, ὥσπερ ὕστερος. ἢ σὺ οὗτος ἀλεκτρυόνας οὐ καλεῖς νόθους, οἱ ἂν ὦσιν ἐξ ἀνομοίων, ἢ οὐ μείζων σοι δοκεῖ διαφορὰ θεοῦ πρὸς γυναῖκα θνητὴν, ἢ γυναίου ἀλεκτρυόνος; εἰ οὖν γέγονας οὕτως καπερ φασὶ, καὶ σὺ νόθος ἂν εἴης, ὥσπερ ἀλεκτρυὼν. τυχὸν δὲ καὶ μαχιμώτατος ἔσῃ τῶν ἄλλων διὰ ταύτην τὴν νοθείαν. καὶ τὶς, εἶπεν, ἔτι μοι καταλείπεται πόλεμος, ἂν ἕλω τούτους, οὓς εἶπον; ὁ πάντων, ἔφη, δυσμαχώτατος, οὐ περσίζων, οὐ λυδίζων τῇ φωνῇ, καθάπερ οἶμαι Δαρεῖος, ἀλλὰ μακεδονίζων τὲ καὶ ἑλληνίζων. καὶ ὃς, ἐταράχθη τὲ καὶ ἠγωνίασε, μή τινα ἐπίσταιτο ἐν Μακεδονίᾳ, ἢ ἐν τῇ Ελλάδι παρασκευαζόμενον, ὡς πολεμήσοντα. καὶ ἤρετο: τὶς οὗτος ἐστὶν ἐμὸς πολέμιος ἐν τῇ Ελλάδι, ἢ Μακεδονίᾳ; σὺ, ἔφη, ἀγνοεῖς, πάνων μάλιστα γινώσκειν οἰόμενος; ἔπειτα, ἔφη, οὐκ ἐρεῖς αὐτὸν, ἀλλὰ κρύψεις; πάλαι γὰρ, εἶπεν, λέγω. σὺ δὲ οὐκ ἀκούεις, ὅτι σὺ

αὐτῷ μάλιστα ἔχθιστος εἶ, καὶ πολεμιώτατος, μέχρις αὖ ἧς κακὸς καὶ ἀνόητος. καὶ οὕτως, ἔφη, ἐστὶν ἀνὴρ, ὃν σὺ ἀγνοεῖς, ὡς οὐδένα ἄλλον. οὐδεὶς γὰρ τῶν ἀφρόνων καὶ πονηρῶν ὠφέλησεν ἑαυτόν. οὐ γὰρ αὐτοῦτο πρῶτον προσέταξεν ὁ Ἀπόλλων, ὡς χαλεπώτατον ἑκάστῳ γνῶναι ἑαυτόν. ἢ οὐ τῷ ἀφροσύνῃ μεγίστῃ καὶ τελεωτάτῃ πασῶν νόσων καὶ βλάβῃ τοῖς ἔχουσι, καὶ τὸν ἄφρονα ἄνδρα τοῦτον, αὐτῷ βλαβερώτατον; ἢ δὲ τὸν βλαβερώτατον ἑκάστῳ, καὶ πλείστων κακῶν αἴτιον τοῦ ἔχθιστον καὶ πολεμιώτατον ἐκείνῳ ὁμολογεῖς εἶναι; πρὸς ταῦτα χαλέπαινε καὶ πήδα, ἔφη, καὶ μιαρώτατον ἀνθρώπων ἐμὲ νόμιζε, καὶ λοιδόρει πρὸς ἅπαντας. ἐὰν δέ σοι δόξῃ, τῷ δορατίῳ Δαμοκλέους, ὡς ἀκούσῃ παρὰ μόνου ἀνθρώπων ἐμοῦ πεπληθῇς, καὶ παρ οὐδενὸς ἄλλου ἀνθρώπων αὖ μάθοις. πάντες γάρ εἰσι χείρους ἐμοῦ, καὶ ἀνελεύθερώτατοι. ταῦτα ἦ ἔλεγε ὁ Διογένης, παρ οὐδενὶ μὲν ἡγούμενος, εἰ καί τι πείσεται, πλὴν σαφῶς

φῶς γε εἰδὼς, ὅτι οὐδὲν ἔσιγε. ἠπίστει γὰρ τὸν Ἀλέξανδρον δοῦλον ὄντα τῆς δόξης, καὶ οὐδέποτ' ἂν ἁμαρτόντα περὶ ἐκεῖνον. ἔφη οὖν, μηδὲ τὸ σημεῖον τὸ βασιλικὸν ἔχειν. καὶ ὁ Ἀλέξανδρος ἠνύμασας: οὐκ ἄρα ἔλεγες, ἔφη: ὅτι οὐδὲν δεῖ σημείου τῷ βασιλεῖ; ναὶ μὰ Δί', εἶπεν, τῶν γε ἔξωθεν, πάρας, καὶ πορφύρας. τούτων γὰρ οὐδέν ἐστιν ὄφελος. τὸ γὰρ ἐκ τῆς φύσεως αὐτῷ δεῖ περισεῖναι πάντων μάλιστα. καὶ τί τοῦτό ἐστιν, ἔφη ὁ Ἀλέξανδρος; ὁ καὶ τὰ μελίττων, ἦ δ' ὅς, τῷ βασιλεῖ περισέστιν. ἢ οὐκ ἀκήκοας, ὅτι ἐν βασιλεὺς ἐν ταῖς μελίτταις, φύσει γιγνόμενος, οὐκ ἐκ γλίχος τοῦτο ἔχων, ὥσπερ ὑμεῖς φαλῆρ, ἀφ' Ἡρακλέους ὄντες. τί ἂν τοῦτό ἐστιν εἶπεν ὁ Ἀλέξανδρος τὸ σημεῖον; οὐκ ἀκήκοας, εἶπε, τῶν γεωργῶν, ὅτι μόνη ἐκείνη ἡ μέλιττα ἄναλκές ἐστιν; ὡς ἀδὲν αὐτῇ δέον ὅπλα περὶ ἀδένα. ἀδεμία γὰρ αὐτῇ τῶν ἄλλων μελιττῶν ἀμφισβητήσει περὶ τῆς βασιλείας, ἀδὲ μάχεται τοῦτο ἐχόσης. σὺ δέ μοι δοκεῖς,

ȣ̓ μόνον περιπατεῖν, ἀλλὰ καὶ καθεύδειν ἐν τοῖς ὅπλοις. οὐκ οἶσθα, ἔφη, ὅτι φοβουμένου ἐστὶν ἀνθρώπου ὅπλα ἔχειν; φοβούμενος δὲ, ȣ̓δέποτ' ἂν οὐδεὶς γένοιτο βασιλεὺς, ȣ̓ μᾶλλον, ἢ δοῦλος. ἀκούσας δὲ ὁ Αλέξανδρος, ὀλίγου ἐκ τῆς χειρὸς ἀφῆκε τὸ δοράτιον. ταῦτα δὲ ἔλεγεν ὁ Διογένης, προτρέπων αὐτὸν εὐεργεσίᾳ πιστεύειν καὶ τῷ δίκαιον παρέχειν αὐτὸν, ἀλλὰ μὴ τοῖς ὅπλοις. σὺ δὲ, ἔφη, καὶ τὸν θυμὸν ἐν τῇ ψυχῇ φορεῖς ἠκονημένον, χαλεπὸν οὕτως καὶ βίαιον κέντρον. οὐκ ἀπορρίψας οὖν ταῦτα, ἃ νῦν ἔχεις, ἐξωμίδα λαβὼν, λατρεύσεις τοῖς αὐτοῦ κρείττοσιν; ἀλλὰ περιελεύσῃ διάδημα ἔχων καταγέλαστον; μικροῦ δὲ ὕστερον ἴσως, λόφον φύσεις, καὶ τιάραν, ὥσπερ οἱ ἀλεκτρυόνες. οὐκ ἐνενόηκας τῶν Σακῶν ἑορτὴν, ἣν Πέρσαι ἄγουσιν, οὗ νῦν ὥρμηκας στρατεύεσθαι; καὶ ὃς, εὐθὺς ἠρώτα, ποίαν τινὰ; ἐβούλετο γὰρ πάντα εἰδέναι τὰ τῶν Περσῶν πράγματα. λαβόντες, ἔφη, τῶν δεσμωτῶν ἕνα τῶν ἐπὶ θανάτῳ καθίζουσιν εἰς τὸν θρό-

θρόνον τοῦ βασιλέως, καὶ τὴν ἐσθῆτα διδόασιν αὐτῷ αὐτὴν, καὶ τρυφᾶν, καὶ ταῖς παλλακαῖς χρῆσθαι τὰς ἡμέρας ἐκείνας ταῖς βασιλέως, καὶ οὐδεὶς οὐδὲν αὐτὸν κωλύει ποιεῖν, ὧν βούλεται. μετὰ δὲ ταῦτα, ἀποδύσαντες, καὶ μαστιγώσαντες, ἐκρέμασαν. τίνος οὖν ἡγῇ τοῦτο εἶναι σύμβολον; καὶ διὰ τί γίγνεσθαι παρὰ τοῖς Πέρσαις; οὐχ ὅτι πολλάκις ἀνόητοι ἄνθρωποι καὶ πονηροὶ, τῆς ἐξουσίας ταύτης καὶ τοῦ ὀνόματος τυγχάνουσιν: ἔπειτα χρόνῳ τινὰ ὑβρίσαντες αἴσχιστα καὶ τάχιστα ἀπόλλυνται; οὐκοῦν τότε, ἐπειδὰν ἄρωσι τὸν ἄνθρωπον ἐκ τῶν δεσμῶν, εἰκός ἐστιν τὸ μὲν ἀνόητον καὶ ἄπειρον τοῦ πράγματος, χαίρειν, καὶ μακαρίζειν ἑαυτὸν τοῖς γιγνομένοις: τὸν δὲ εἰδότα, ὀδύρεσθαι, καὶ μὴ θέλειν ἑκόντα συνακολουθεῖν, ἀλλὰ μᾶλλον, ὥσπερ εἶχε, μένειν ἐν ταῖς πέδαις. μὴ οὖν πρότερον, ὦ μάταιε, βασιλεύειν ἐπιχείρει, πρὶν ἢ φρονῆσαι. τέως δὲ, ἔφη, κρεῖττον, μηδὲν προστάττειν, ἀλλὰ μόνον αὐτὸν ζῆν, διφθέραν ἱμάτιον γεωρ-

γὸν στερεὸν πρὸς ὄμβρων μάλιστα ἀποφυγὴν ἱκανὸν ἔχοντα. σὺ δὲ ἔφη, κελεύεις με διφθέραν λαβεῖν τ' ἀφ' Ηρακλέους γεγονότα, καὶ τῶν Ελλήνων ἡγεμόνα, καὶ Μακεδόνων βασιλέα; πάνυγε, εἶπεν: ὥσπερ ὁ πρόγονός σου. τίς, ἔφη, πρόγονος; Αρχέλαος: ἢ οὐκ αἰσθάνῃ ὁ Αρχέλαος; οὐδὲ ἦλθεν εἰς Μακεδονίαν αἶγας ἐλαυνῶν; πότερον ἂν ἐν πορφύρᾳ μᾶλλον, ἢ ἐν διφθέρᾳ οἴει τοῦτο ποιεῖν; καὶ ὁ Αλέξανδρος, ἀνήθηε καὶ ἐγέλασεν, καὶ ἔφη: τὰ περὶ τὸν χρησμόν, ὦ Διόγνες, λέγεις. ὁ δὲ σφυδνῷ τῷ προσώπῳ, ποῖον, εἶπε, χρησμόν; οὐκ οἶδα ἔγωγε, πλὴν αἰσθάνῃ ἦν Αρχέλαος: ἀλλ' αὖ ἀπαλλαγῆς ἔτυχε, καὶ τῶν πραγμάτων, ἔσῃ βασιλεὺς, ὁ λόγῳ τυχὸν, ἀλλὰ ἔργῳ: καὶ κρατήσεις ὁ μόνον τῶν ἀνθρώπων ἁπάντων, ἀλλὰ καὶ τῶν γυναικῶν: ὥσπερ ὁ Ηρακλῆς, ὃν σὺ φῂς πρόγονον εἶναι. καὶ ὃς, ποίων ἔφη γυναικῶν; ἢ δῆλον, ἔφη, τῶν ἀμαζόνων λέγεις; ἀλλ' ἐκείνων, ἦσθ' ὃς, ὁδὲν ἦν κρατῆσαι χαλεπὸν.

ἑτέρᾳ

ἑτέρου δέ τινος γένους, δεινοῦ καὶ ἀγρίου παντελῶς. ἢ οὐκ ἀκήκοας τὸν λιβυκὸν μῦθον; καὶ ὃς οὐκ ἔφη ἀκηκοέναι. διηγεῖτο δὲ μετὰ ταῦτα προθύμως καὶ ἡδέως: βουλόμενος αὐτὸν παραμυθήσασθαι, καθάπερ αἱ τίτθαι τὰ παιδία, ἐπειδὰν αὐτοῖς πληγὰς ἐμβάλωσι, παραμυθούμεναι καὶ χαριζόμεναι, μῦθον αὐτοῖς ὕστερον διηγήσαντο. εὖ δὲ ἴσθι, ἔφη, ὅτι οὐ πρότερον ἔσῃ βασιλεὺς, πρὶν ἂν ἱλάσῃ τὸν αὐτοῦ δαίμονα, καὶ θεραπεύσας ὡς δεῖ ἀποδείξῃς ἀρχικόν τε καὶ ἐλευθέριον, καὶ βασιλικὸν, ἀλλὰ μὴ, ἢν νῦν ἔχεις δοῦλον, ἀνελεύθερον, καὶ πονηρὸν. ἐνταῦθα δὴ ὁ Αλέξανδρος ἐκπεπληγμένος τοῦ ἀνθρώπου τὸ ἀνδρεῖον, καὶ τὸ ἀδεὲς, νομίσας πλέον τι τῶν ἄλλων ἐπίστασθαι αὐτὸν, παντοδαπὸς ἦν ἱκετεύων, μὴ φθονῆσαι μηδένα πρόπον, ἀλλὰ φράσαι τίς ἐστιν ὁ δαίμων αὐτοῦ, καὶ πῶς χρὴ ἱλάσκεσθαι αὐτὸν. ἤλπιζε γὰρ ὀνόματι ἀκούσεσθαι δαίμονος, καὶ θυσίας τινὰς, ἢ καθαρμοὺς, οὓς δεῖ ἐπιτελέσαι. κατιδὼν

οὖν αὐ-

οὖν αὐτὸν ὁ Διογένης τεθορυβημένον καὶ σφόδρα τῇ ψυχῇ μετέωρον, προσέπαιζε καὶ περιῆλθεν, εἴ πως δύναιτο κινηθεὶς ἀπὸ τοῦ τύφου καὶ τῆς δόξης, μικρόν τι ἀνανεῦσαι. καὶ γὰρ δὴ ᾐσθάνετο αὐτὸν, νῦν μὲν ἡδόμενον, νῦν δὲ λυπούμενον ἐν τῷ αὐτῷ, καὶ τὴν ψυχὴν αὐτοῦ ἄκριτον οὖσαν, ὥσπερ τὸν ἀέρα ἐν ταῖς τροπαῖς, ὅταν ἐκ τοῦ αὐτοῦ νέφους ὕῃ τε καὶ λάμπῃ ὁ ἥλιος: συνίει δὲ, ὅτι καὶ οὗτος τρόπου κατεφρόνει, ἐν ᾧ διελέγετο πρὸς αὐτὸν, ἅτε οὐδέποτε ἀκηκοὼς δεῖνοῦ λέγειν ἀνδρὸς, ἀλλὰ σὺν τῶν σοφιστῶν θαυμάζων λόγους, ὡς ὑψηλούς τε καὶ μεγαλοπρεπεῖς. βουλόμενος οὖν χαρίσασθαι αὐτῷ, ἅμα τε ἐπιδεῖξαι, ὅτι οὐκ ἀδύνατός ἐστιν, ὥσπερ ἵππον εὐμαθῆ καὶ πειθόμενον, ὅταν αὐτῷ δοκῇ τῷ λόγῳ ἐπάραι, λέγει πρὸς αὐτὸν οὕτως περὶ δαιμόνων: ὅτι οὐκ εἰσὶν ἔξωθεν τῶν ἀνθρώπων, οἱ πονηροὶ καὶ ἀγαθοὶ δαίμονες, οἱ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέροντες αὐτοῖς: ὁ δὲ ἴδιος ἑκάστου νοῦς, οὗτός ἐστι δαίμων τοῦ ἔχοντος ἀνδρὸς: ἀγαθὸς

μὲν

μὲν ὁ τοῦ φρονίμου καὶ ἀγαθοῦ δαίμων: πονηρὸς δὲ ὁ τοῦ πονηροῦ: ὡσαύτως δὲ ἐλεύθερος μὲν, ὁ τοῦ ἐλευθέρου, δοῦλος δὲ, ὁ τοῦ δούλου: καὶ βασιλικὸς μὲν, ὁ τοῦ βασιλικοῦ καὶ μεγαλόφρονος, ταπεινὸς δὲ, ὁ τοῦ ταπεινοῦ καὶ ἀγεννοῦς. ἵνα δὲ, ἔφη, μὴ καθέκαστον ἐπῶν πολύ τι πλῆθος ἐπάγωμαι λόγων, ἐρῶ σοὺ κοινοτάτους καὶ φανερωτάτους δαίμονας, ὑφ' ὧν ἅπαντες ὡς εἰπεῖν ἐλαύνονται τύραννοι, καὶ ἰδιῶται, καὶ πλούσιοι, καὶ πένητες, καὶ ὅλα ἔθνη, καὶ πόλεις. ἐνταῦθα δὴ πάντα ἀνεὶς καλῶς μάλα ὑψηλῶς καὶ ἀδεῶς τὸν ἑξῆς διεπέραινε λόγον. πάλαι μὲν, ὦ παῖ φιλίππου, περὶ πάντα κακίαι τε καὶ διαφοραὶ τῶν ἀνθρώπων, καὶ τοσαῦται σχεδὸν, ὅσας οὐ δυνατὸν διελθεῖν. τῷ ὄντι γὰρ κατὰ τὸν ποιητὴν,

οὐκ ἔστιν οὐδὲν δεινὸν ᾧδ' εἰπεῖν ἔπος,
οὐδὲ πάθος. οὐδὲ συμφορὰ θεήλατος,
ἧς οὐκ ἄραιτ' ἂν ἄχθος ἀνθρώπου φύσις.

Τριῶν δὲ ἐπικρατούντων, ὡς ἔπος εἰπεῖν, βίων, εἰς οὓς μάλιστα ἐμπίπτουσιν οἱ πολλοὶ,

μὰ

μὰ Δί' οὐ μετὰ λογισμοῦ, σκεψάμενοι καὶ δοκιμάσαντες, ἀλόγῳ ὁρμῇ καὶ τύχῃ προσενεχθέντες, τοσούτους φατέον εἶναι καὶ δαίμονας, οἷς ζωὺ ἕπονται καὶ λατρεύουσιν, ὁ πολὺς καὶ ἀμάθης ὅμιλος, ἄλλοι ἄλλῳ, καθάπερ πονηρῷ ἡγεμόνι καὶ μαινομένῳ, πονηρὸς καὶ ἀσελγὴς θίασος. ἔστι δὲ τούτων, ὧν ἔφλυ βίων, ὁ μὲν ἡδυπαθὴς, καὶ τρυφερὸς, περὶ τὰς τοῦ σώματος ἡδονὰς: ὁ δ' αὖ φιλοχρήματος, καὶ φιλόπλουτος: ὁ δὲ τρίτος ἀμφοτέρων ἐπιφανέστερός τε, καὶ μᾶλλον παραγμένος, ὁ φιλότιμος καὶ φιλόδοξος, ἐκδηλοτέραν καὶ σφοδροτέραν ἐπιδεικνύμενος τὴν παραχλὴν, καὶ τὴν μανίαν, ἐξαπατῶν αὐτὸν, ὡς καλοῦ δή τινος ἐραστὴν. φέρε οὖν, καθάπερ οἱ κωμῳδοὶ τῶν δημιουργῶν ἐπὶ πάντα ἐν βραχεῖ φέρουσι τὴν αὐτῶν ἐπίνοιαν καὶ τέχνην, οὐ μόνον τὰς τῶν θεῶν ἀπομιμούμενοι φύσεις ἀνθρωπίνοις εἴδεσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον, πολεμούς τε ἐνίοτε χεάφοντες, ἀνδράσιν ὁμοίους, καὶ κρήνας

νας ἕν τισι γυναικείοις εἴδεσι, καὶ νήσους, καὶ πόλεις, καὶ τὰ ἄλλα μικροῦ δεῖν ξύμπαντα: ὁποῖον καὶ Ομηρος ἐτόλμησεν ἐπιδείξαι Σκάμανδρον φθεγγόμενον ὑπὸ τῇ δίνῃ. κἀκεῖνοι φωνὰς μὲν οὐκ ἔχουσι προσθεῖναι τοῖς εἰδώλοις, εἴδη δὲ οἰκεῖα, καὶ σημεῖα ἀπὸ τῆς φύσεως: οἷον οὗτοι πόταμους κατακειμένους γυμνοὺς, τὸ πλέον γένειον πολὺ καθεικότας, μυρίκην ἢ καλάμην ἐστεφανωμένους. οὐκοῦν καὶ ἡμεῖς μὴ χείρους, μηδὲ φαυλότεροι περὶ οὗτοι λόγους φανῶμεν, ἤπερ ἐκεῖνοι περὶ τὰς αὐτῶν τέχνας, τοῦ πλάττειν καὶ ἀφομοιοῦν οὗτοι τρόπους τοῦ τρίπλου δαίμονος, τῶν τριῶν βίων τὴν ἐναντίαν ἕξιν καὶ ἀντίστροφον ἐπιδεικνύμενοι, τῆς τῶν λεγομένων φυσιογνωμόνων ἐμπειρίας καὶ μαντικῆς. οἱ μὲν γὰρ ἀπὸ τῆς μορφῆς καὶ τοῦ εἴδους τὸ ἦθος γιγνώσκουσι καὶ ἀπαγγέλλουσιν, ἡμεῖς δὲ ἀπὸ τῶν ἠθῶν καὶ τῶν ἔργων, χαρακτῆρα καὶ μορφὴν ἀξίαν ἐκείνων σπάσωμεν, εἰ ἄρα μᾶλλον ἅψασθαι δυνησόμεθα τῶν πολλῶν καὶ φαυλοτέρων, πρὸς τὸ ἀ-

τὸ ἀποδεῖξαι τὴν τῶν βίων ἀτοπίαν. οὐδὲν γὰρ ἄσχημον, οὐδὲ νεμεσητὸν καὶ ποιηταῖς παραβαλλομένους, καὶ χειροτέχναις, καὶ καθάρταις ὁρᾶσθαι, εἰ δέοι σπεύδειν πανταχόθεν εἰκόνας καὶ παραδείγματα πορίζειν, ὅπως ἂν ἰσχύσωμεν ἀποτρέψαι κακίας καὶ ἀπάτης, καὶ πονηρῶν ἐπιθυμιῶν: εἰς ἀρετῆς δὲ φιλίαν προαγαγεῖν, καὶ ἔρωτα τῆς ζωῆς ἀμείνονος: ἢ ὡς εἴωθασιν ἔνιοι, τὸ περὶ τὰς τελετὰς καὶ τὲ καθάρσια, μηνῶν ἑκάτης ἱλασκόμενοί τε καὶ ἐξάντη φάσκοντες ποιήσειν, ἔπειτα, οἶμαι, φάσματα πολλὰ καὶ ποικίλα πρὸ τῶν καθαρμῶν ἐξηγούμενοι καὶ ἐπιδεικνύντες, ἅ φασιν ἐπιπέμπειν χολουμένην τὴν θεὸν. εἶεν. ὁ μὲν δὴ φλοχρήματος δαίμων, χρυσοῦ, καὶ ἀργύρου, καὶ γῆς, καὶ βοσκημάτων, καὶ συνοικιῶν, καὶ πάσης κτήσεως ἐραστὴς: ἆρα οὐκ ἂν σκυθρωπός τε καὶ συνηφὴς ἰδεῖν ἐν σχήματι ταπεινῷ καὶ ἀγεννεῖ πλάττοιτο ὑπὸ δημιουργοῦ μὴ φαύλου τὴν τέχνην, αὐχμηρὸς, καὶ ῥυπῶν, οὔτε παῖδας, ἢ γονέας, οὔτε πατρί-

πατρίδα φιλῶν; ἢ συγγένειαν ἄλλο τι νομίζων ἢ τὰ χρήματα: οὐ γὰρ θεοὺς πλέον οὐκ εἶναι λογιζόμενος, ὅτι μὴ πολλοὺς αὐτῷ, μηδὲ μεγάλους θησαυροὺς παρασκευάζουσιν, ἢ θανάτους οἰκείων τινῶν, καὶ ζυγγενῶν, ὅπως ἔχοι κληρονομεῖν: τὰς γὰρ ἑορτὰς, ζημίαν ἄλλως ἡγούμενος, καὶ ματαίαν δαπάνην: ἀγέλας, καὶ ἀμισθίας, ὑφορώμενος ἅπαντας, καὶ βλαβερὰς ἡγούμενος, καὶ ἀπιστῶν πᾶσιν, ἁρπακτικὸν βλέπων, ἀεὶ κινῶν οὐ δακτύλους, ἤτοι τὴν αὐτοῦ λογιζόμενος οὐσίαν, ἢ τῶν ἄλλων τινός: πάλαι γὰρ ἀναίσθητος, καὶ ἀμαθὴς, παιδείας καὶ γραμμάτων καταγελῶν: πλὴν ὅσον περὶ λογισμοὺς καὶ σύμβολα τυφλοῦ καὶ δικαίως λεγομένου καὶ γραφομένου τοῦ πλούτου, τυφλότερος ἐραστὴς: περὶ πάντα λυτῶν κτήματα, καὶ οὐδὲν ἀπόβλητον ἡγούμενος, οὐχ ὥσπερ τὴν μαγνῆτιν λίθον ἕλκειν φασὶ πρὸς αὐτὴν τὸν σίδηρον, ἀλλὰ καὶ χαλκὸν, καὶ μόλυβδον προσαγόμενος, καὶ ψάμμον, ἢ λίθον διδοῦσα τις,

πανταχῆ καὶ περὶ πάντα σχεδόν τι τὸ ἔχειν, οὗ μὴ ἔχειν λυσιτελέστερόν τε καὶ ἄμεινον ἡγούμενος: μάλιστα δὲ περὶ τὴν τοῦ ἀργυρίου κτῆσιν ἔμφρων καὶ συντεταμένος, ὅτι δὴ τάχιστα, καὶ ἀδαπανώτατα πρόεισι, σὺν ἡμέρᾳ καὶ νυκτὶ προβαίνων, καὶ φθάνων, οἶμαι, τὰς τῆς σελήνης γε ὁδοὺς: τὸ δὲ τῆς ἀπεχθείας, καὶ τὸ τοῦ μίσους καὶ βλασφημιῶν οὐδαμῆ λογιζόμενος: ἔτι δὲ, τῇ μὲν ἄλλῃ κτήσει καλλωπισμόν τινα προσεῖναι καὶ διατριβὴν ἡγούμενος, τὸ δὲ ἀργύριον, ὡς ἐν βραχυτάτῳ συνειληφέναι τῆς τοῦ πλούτου δύναμιν. τοῦτο οὖν διώκει, καὶ ζητεῖ πανταχόθεν, οὐδέν τι μεταστρεφόμενος, οὔτ' εἰ μετ' ἀδικίας γίγνοιντο, πλὴν ὅσον τὰς κολάσεις ὑφορώμενος, ὁ δὲ δὴ δοκῶν ἀσφαλέστερος, δειλίᾳ κρατηθεὶς καὶ ἀσχαρίστου ψυχὴν ἔχων, τὰ μὲν ἁρπάζοντος, ἐν ἐλπίσι λήσεσθαι, τοῖς δὲ ἐπιβλέποντος, καὶ ἄκοντος ἀπεχομένου διὰ σοῦ ἐφεστηκότας φύλακας. ἔστω δὴ βραχὺς ἰδεῖν, δουλοπρεπὴς, ἄγρυπνος, οὐδέποτε μειδιῶν, ἀεὶ τῷ λοιδορούμενος καὶ

μαχό-

μαχόμενος, πορνοβοσκῷ μάλιστα προσεοικὼς, τό, τε σχῆμα καὶ τὸν τρόπον ἀναιδεῖ καὶ γλίσχρῳ, βαπτὸν ἀμπεχομένῳ τριβώνιον, μιᾶς τινος τῶν ἑταιρῶν, ὧν ἴσμεν. ὁ δὲ δαίμων, αἰσχρὸς, καὶ ἀπρεπὴς: τοὺς αὐτοῦ φίλους τὲ καὶ ἑταίρους, μᾶλλεν δὲ δούλους τὲ καὶ ὑπηρέτας λωβώμενος, καὶ καταισχύνων πάντα τρόπον: ἐάν τε ἐν ἰδιώτου σχήματι λάβῃ τινὰς, ἄντε ἐν βασιλέως: ἢ οὐ πολλοὺς τῶν καλουμένων βασιλέων ἰδεῖν ἐστι καπήλους, καὶ τελώνας, καὶ πορνοβοσκοὺς; ἀλλὰ Ερόμωνα μὲν καὶ Σάραβον, ὅτι ἐν Αθήναις καπηλεύουσι, καὶ ὑπὸ Αθηναίων τοῦτο ἀκούουσι τὸ ὄνομα, δικαίως φαμὲν ἀκούειν: Δαρεῖον δὲ, τὸν πρότερον, ὅτι ἐν Βαβυλῶνι καὶ Σούσοις ἐκαπήλευε, καὶ Πέρσαι αὐτὸν ἔτι καὶ νῦν καλοῦσι κάπηλον, οἴει, ὡς οὐ δικαίως κεκλῆσθαι; ἴδιόν γε μὴν τούτῳ συμβέβηκεν παρὰ τοὺς ἄλλους δαίμονας. ἐνίοτε μὲν γὰρ ἔχει καὶ κρατεῖ τῆς ψυχῆς, ἐνίοτε δὲ ἐκείνῃ συνέπεται, διὰ τὸ πάσης ἐπιθυμίας, καὶ σπουδῆς ὑπηρέτην τὲ καὶ διάκονον

καὶ ἀπροφάσιστον εἶναι τὸν πλοῦτον: ἀλλ' ἐγὼ λέγω νῦν, ἡγούμενον τὸν αὐτὸν, καὶ προεστηκότα τῆς τοῦ δυστυχοῦς ἀνθρώπου διανοίας, οὔτε ἐφ' ἡδονήν τινα, οὔτε εἰς δόξαν ἀναφέροντος τὴν τῶν χρημάτων κτῆσιν, οὐδὲ ὡς ἀναλώσοντα καὶ χρησόμενον ξυνάγοντα, ἀνέξοδον δὲ καὶ ἀχρεῖον φυλάττοντα τὸν πλοῦτον, τῷ ὄντι κατάκλειστον, ἔν τισι κρυπτοῖς καὶ ἀφεγγέσι βαλάκοις. εἶεν.

Ο δὲ δὴ δεύτερος ἀνήρ τε καὶ δαίμων ἐκείνου τοῦ ἀνδρὸς, ὁ τὰ τῆς ἡδονῆς ἀναφαίνων ὄργια καὶ τὴν θεὸν ταύτην θαυμάζων, καὶ προτιμῶν ἀτεχνῶς γυναικείαν θεὸν, ποικίλος, καὶ πολυειδὴς, περί τε ὀσμὰς καὶ γεύσεις ἀπλήρωτος: ἔτι δὴ, οἶμαι, περὶ πάντα ὁράματα, πάντα δὴ ἀκούσματα, πρὸς ἡδονήν τινα φέροντα, πάσας δὲ ἁφὰς προσηνεῖς τε καὶ μαλακὰς, λουτρῶν δὴ ὁσημέραι θερμῶν, μᾶλλον δὴ δὶς τῆς ἡμέρας, καὶ χρίσεων, οὐ κάματον ἰωμένων: πρὸς δὲ αὖ τούτοις ἐσθήτων τε μαλακῶν, καὶ ἑλίξεις, καὶ κατακλίσεις ἠσκημένας,

μένας, καὶ διακονίας ἀκριβεῖς, καθ' ἑκάστην ἐπιθυμίαν τὲ καὶ χρείαν, περὶ πάντα ταῦτα δεινῶς ἐπτοημένος. μάλιστα μὲν καὶ ἀκρατέστατα περὶ τὴν τῶν ἀφροδισίων ὀξείαν καὶ διάπυρον μανίαν θηλυκῶν τὲ καὶ ἀῤῥενικῶν μίξεων, καὶ ἔτι πλειόνων ἀῤῥήτων καὶ ἀνωνύμων αἰσχρουργιῶν, ἐπὶ πάντα ὁμοίως τὰ τοιαῦτα φερόμενος καὶ ἀγόμενος, οὐδὲν ἀπώμοτον, οὐδὲ ἄπρακτον ποιούμενος. νῦν γὰρ δὴ ἕνα τούτων τίθεμεν τὸν ἁπάσας τὰς τοιαύτας παρειληφότα νόσους, καὶ ἀκρασίας τῆς ψυχῆς, ἵνα μὴ πολύν τινα ἀθροίσωμεν ἐς μὸν τινῶν μοιχικῶν δαιμονίων, φιλομύρων, καὶ φιλοίνων, καὶ ἄλλων δὴ μυρίων, ἀλλ' ἁπλῶς ἕνα δαίμονα τιθῶμεν, τὸν ἀκόλαστον καὶ δεδουλωμένον ὑφ' ἡδονῆς, ἐὰν μὲν ἐπιῤῥέῃ ποθὲν ἀνελλιπὲς τὸ τῆς χορηγίας χρῆμα τῶν βασιλικῶν, ἤ τινος μεγάλης ἰδιωτικῆς ὑπούσης οὐσίας ἐν πολλῇ καὶ ἀφθόνῳ κυλινδούμενον ἀσελγείᾳ μέχρι γήρως, εἰ δὲ μὴ, ταχὺ μάλα ἐξαναλώσαντα τὰ παρόντα, πένητα ἀκρατῆ καὶ ἀκόλαστον ἐν

σπάνει καὶ ἱμέρῳ, δεινῶς τῶν ἐπιθυμιῶν λειπόμενον. εἰ δέ τινας οὗτος τῶν ὑπ' αὐτοῦ κρατουμένων, εἰς γυναικεῖον μετέβαλε βίον τε καὶ σχῆμα, ὥσπερ οἱ μῦθοι φασὶ τοὺς μεταβαλόντας ἐξ ἀνθρώπων εἰς ὄρνιθας, ἢ θηρία, ἐὰν τύχωσι τοιαύτης ἡττηθέντες ἡδονῆς. πάλιν δὲ καὶ ταῦθα ἐν τῇ χορηγίᾳ πέφηνεν. ὁ μὲν γὰρ ἀσθενής τε καὶ ἄτολμος ἐκ τούτου τοῦ γένους δαίμων ἐπί τε τὰς γυναικείας νόσους, καὶ ἄλλας αἰσχύνας, ὁπόσαις πρόσεστι ζημία, καὶ ὄνειδη προσάγει ῥᾳδίως, ὅπου δὲ ἡδονῶν τινῶν τιμωρίαι πρόσεισι, θανάτοις ἢ δεσμοῖς κολάζουσαι τοὺς ἐξαμαρτάνοντας, ἢ χρημάτων πολλαῖς ἐκτίσεσιν, οὐ πάνυ τι πρὸς ταῦτα πρόεισιν. ὁ δὲ ἀγεννέστερός τε καὶ θρασύτερος, πάντα ἁπλῶς ὑπερβαίνειν ἀναγκάζει, τά, τε ἀνθρώπινα καὶ τὰ θεῖα. ἀλλ' ὁ μὲν ἀσθενής τε καὶ ἄτολμος ἔνθα προσθέμενος τὴν τοιαύτην αἰσχύνην ὁμολογεῖ, οὐδενὸς ἀνδρείου πράγματος ἁπτόμενος, ἀλλὰ παραχωρήσας τῶν κοινῶν καὶ πολιτικῶν πρά-

ξεων

ξεων ἐν τοῖς ἄμεινον βεβιωκόσιν: ὁ δὲ ἰταμὸς, καὶ ἄτρεπτος, πολλὰς ὕβρεις τὰ καὶ αἰσχύνας ὑπομείνας, ὀστράκου, φασὶ, μεταπεσόντος, στρατηγος ἢ δημαγωγὸς πέφηνεν, ὀξὺ καὶ διάτορον βοῶν, ὥσπερ οἱ τῶν δραμάτων ὑποκριταὶ, ἀπορρίψας μεταξὺ τὴν γυναικείαν στολὴν, ἔπειτα στρατιώτου τινὸς ἢ ῥήτορος στολὴν ἁρπάσας, περιέρχεται ζυκοφάντης, καὶ φοβερὸς, ἀντίον πᾶσι βλέπων, ἆρ' οὖν ἀρρενωπόντι καὶ σεμνὸν εἶδος τῷ τοιούτῳ δαίμονι πρέπει, ἢ μᾶλλον ὑγρόντε καὶ μαλθακὸν; οὐκοῦν τὸ οἰκεῖον αὐτῷ σχῆμα προσθήσομεν, οὐχ ὃ πλαττόμενος ἐνδύεται πολλάκις ἀνδρεῖον καὶ φοβερὸν, προΐτωγε μὴν διατρυφῶντε, καὶ μύρων καὶ οἴνου ἀποπνέων, ἐν κροκωτῷ μετὰ πολλοῦ καὶ ἀτάκτου γέλωτος, μεθύοντι προσεοικὼς, κωμάζοντι μεθ' ἡμέραν ἀσελγῆ κῶμον, στεφάνους τινὰς ἐστεφανωμένος ἑώλους, τήν τε κεφαλὴν, καὶ περὶ τῷ τραχήλῳ, καὶ πλάγιος φερόμενος, ὀρχούμενός τε, καὶ ἄδων, θῆλυ καὶ ἄμουσον μέλος: ἀγέσθω δὲ ὑπὸ

γυναικῶν ἀναισχύντων καὶ ἀκολάστων, ἐπι-
θυμιῶν τινων λεγομένων ἄλλων ἐπ' ἄλλα
ἑλκουσῶν, μηδεμίαν αὐτῶν ἀπωθούμενος, μη-
δὲ ἀντιλέγων, ἀλλ' ἑτοίμως τε καὶ προθύμως
συνεπόμενος. αἱ δὲ, μετὰ πολλοῦ καμάτου κυμ-
βάλων τε καὶ αὐλῶν, φέρουσαι μαινόμενον αὐ-
τὸν σπουδῇ προΐτωσαν: ὁδ' ἐκ μέσων ἀνα-
βοάτω τῶν γυναικῶν ὀξύτερον καὶ ἀκρατέ-
στερον, λευκὸς ἰδεῖν, ἐντρυφερὸς, αἰθρίας καὶ
πόνων ἄπειρος, ἀποκλίνων τὸν τράχηλον, ὑ-
γροῖς τοῖς ὄμμασι, μάχλον ὑποβλέπων, ἀεὶ
τὸ σῶμα καταθεώμενος, τῇ ψυχῇ δὲ οὐδὲν
προσέχων, οὐδὲ τοῖς ὑπ' αὐτῆς προστασσο-
μένοις. τοῦτον ἀγαλματοποιὸς ἢ γραφεὺς ἀ-
ναγκαζόμενος εἰκάζειν, οὐκ ἂν ὁμοιότερον
ἄλλῳ ἐργάσαιτο, ἢ τῷ σύρων βασιλεῖ μετ'
εὐνούχων καὶ παλλακῶν ἔνδον διαβιοῦντι,
στρατοπέδου τε καὶ πολέμου καὶ ἀγορᾶς ἀθεά-
τῳ τὸ παράπαν. προηγείσθω δὲ καὶ τούτων,
ἀπάτη, πάνυ ὡραία, καὶ πιθανὴ, κεκοσμη-
μένη κόσμοις πορνικοῖς, μειδιῶσα καὶ ὑπι-

σχνου-

σχυθμένη πλῆθος ἀγαθῶν, ὡς ἐπ' αὐτὴν ἄγουσα τὴν εὐδαιμονίαν, ἕως ἂν εἰς τὸ βάραθρον καταβάλῃ λαθοῦσα, εἰς πολύν τε καὶ ῥυπαρὸν βόρβορον; ἔπειτα ἐάσῃ κυλινδεῖσθαι, μετὰ τῶν στεφάνων καὶ τοῦ κροκωτοῦ. τοιούτῳ δεσπότῃ λατρεύουσαι, καὶ τοιαῦτα πάσχουσαι, πλανῶνται κατὰ τὸν βίον, ὅσαι ψυχαὶ πρὸς μὲν πόνους δειλαὶ καὶ ἀδύναται, δεδουλωμέναι δὲ ἡδοναῖς, φιλήδονοι καὶ φιλοσώματοι, βίον αἰσχρὸν καὶ ἐπονείδιστον οὐχ ἑλόμεναι ζῶσιν, ἀλλὰ ἐνεχθεῖσαι πρὸς αὐτὸ.

οὐκ οὖν μετὰ τοῦτον ὁ λόγος, ὥσπερ ἐν ἀγῶνι σφηττοῖ, τρίτον εἰσάγει χορὸν, ὡς ἐκεῖ, τὸν φιλότιμον, οὐ πάνυ προθύμως, τὸν νοῦν ἀγωνιούμενον, καί τοι φιλόνεικον ὄντα τῇ φύσει περὶ πάντα, καὶ πρωτεύειν ἀξιοῦντα, πλὴν οὐ περὶ δόξης ἢ τιμῆς ἡ κρίσις αὐτῷ τανῦν ἕστηκεν, ὑπὲρ δὲ πολλῆς καὶ δικαίας ἀδοξίας. φέρε δὴ ποῖόν τι πλάττωμεν τότε σχῆμα καὶ εἶδος τοῦ φιλοτίμου δαίμονος, ἢ δηλονότι πτερωτόν τε καὶ ὑπηνέμιον, κατὰ τὸ ἦθος αὐτοῦ

καὶ τὴν ἐπιθυμίαν, ἅμα τοῖς πνεύμασι φερόμενον: ὁποίους δὴ Βορεάδας ἐνεθυμήθησάν τε καὶ ἔγραψαν οἱ γραφεῖς ἐλαφρούς τε καὶ μεταρσίους, ταῖς ἐκ πνεύματος αὔραις ζωθέοντας, ἀλλὰ ἐκεῖνοι μὲν ὁπότε βουληθεῖεν, ἐπεδείκνυντο τὴν αὐτῶν δύναμιν, τέως δὲ μετὰ τῶν ἄλλων ἡρώων ἐν τῇ ἀγορᾷ ζωέπλεον καυτιλλόμενοι, καὶ τἆλλα πράττοντες ὁδενὸς ἧττον: ὁ δὲ τῶν φιλοδόξων ἀνδρῶν πρόσταξις, ἀεὶ μετέωρος, οὐδέποτε γῆς ἐφαπτόμενος, οὐδὲ ὑψηλοῦ ξύλου, ἀλλὰ ὑψηλὸς καὶ μετάρσιος: ὅταν μὲν αἰθερίας τύχῃ καὶ γαληνῆς, ἢ ζεφύρου τινὸς ἐπιεικῶς πνέοντος, ἀεὶ μᾶλλον ἀχαλινόμενός τε καὶ ἰὼν εἰς αὐτὸν τὸν αἰθέρα, καὶ πολλάκις δὴ ἐν σκοτεινῷ νέφει κρυπτόμενος, ἀδοξίας τινὸς ζωπρεχούσης, καὶ φόβου παρὰ τῶν πολλῶν ἀνθρώπων, οὓς ἐκεῖνος θεραπεύει, καὶ τιμᾶ, καὶ τῆς εὐδαιμονίας τῆς αὐτοῦ κυρίους ἀπέδειξεν: οὐδὲν γε μὴν πρόσεισιν ἀσφαλείας ἔνεκεν, οὔτε ἀετοῖς, οὔτε γεράνοις, οὔτε ἄλλῳ τινὶ πτηνῷ ζῴῳ τὴν φύσιν:

φύσιν: ἀλλὰ μᾶλλον ἄν τις αὐτὸν προσεικάσειε τῇ Ικάρου βιαίῳ καὶ παρὰ φύσιν φορᾷ, οὐ δυνατὸν τέχνημα ἐπιχειρήσαντος Δαιδάλου τεχνήσασθαι. τοιραρουῦ ὑπὸ νεότητος καὶ ἀλαζονείας ἐπιθυμῶν ὑψηλότερος τῶν ἄστρων φέρεσθαι, χρόνον μέν τινα ἐσώζετο βραχὺν, χαλωμένων δὲ τῶν δεσμῶν, καὶ τοῦ κηροῦ ῥέοντος, ἐπωνυμίαν ἀπὸ τοῦδε τῷ πελάγει παρέσχεν, οὗπερ ἠφανίσθη πεσὼν: κακεῖνος ἀσθενέσι καὶ κούφοις τῷ ὄντι πιστεύσας πτεροῖς, λέγω δὲ τιμαῖς τε καὶ ἐπινοίαις ὑπὸ τῶν ἀνθρώπων τῶν πολλῶν, ὡς ἔτυχε, γιγνομένας, ἐπισφαλῶς καὶ ἀσταθμήτως φέρεται, καὶ φέρει τὸν ἄνδρα τὸν αὐτοῦ ζηλωτήν τε καὶ ὑπηρέτην, νῦν μὲν ὑψηλὸν καὶ μακάριον πολλοῖς φαινόμενον, πάλιν δὲ αὖ, ταπεινόν τε καὶ ἄθλιον, ἀλλὰ πρώτῳ καὶ μάλιστα αὐτῷ δοκοῦντα. εἰ δέ τῳ οὐ φίλον, πτηνὸν αὐτὸν διανοῆσαι καὶ ποιεῖν, ὅδε ἀφωμοιούτω αὐτὸν τῇ τοῦ Ιξίονος χαλεπῇ καὶ βιαίῳ φορᾷ τε καὶ ἀνάγκῃ, τροχοῦ τινος ῥύμῃ κύκλῳ κινουμένου

τε

τε καὶ φερομένου. οὐ γὰρ ἀπεοικὸς, οὐδὲ μακρὰν δὴ τῶν σοφῶν τε καὶ κομψῶν εἰκασμάτων εἴη ἂν, καὶ ὁ τροχὸς δόξῃ παραβαλλόμενος τῇ τε κινήσει καὶ μεταβολῇ πάνυ, ῥαδίως πειθέων. ἐν δὲ τῇ περιφορᾷ, παντοῖα σχήματα τὴν ψυχὴν ἀναγκάζει λαμβάνειν μᾶλλον, ἢ ὁ τῶν κεραμέων, τὰ ἐπ' αὐτῷ πλαττόμενα. ἄνδρα δὴ τοιοῦτον εἰλούμενον ἀεὶ καὶ περιφερόμενον, κόλακα δήμων τε καὶ ὄχλων ἐν ἐκκλησίαις, ἢ ἐπιδείξεσι βασιλέων, ἢ τυράννων λεγομένων φιλίαις καὶ θεραπείαις, τίς οὐκ ἂν ἐλεήσειε τῆς φύσεως καὶ τοῦ βίου; λέγω δὲ οὐχ ὃς ἂν, ἀπὸ τοῦ βελτίστου προεστηκὼς, πολύτι πλῆθος ἀνθρώπων, πειθοῖ καὶ λόγῳ μετ' εὐνοίας καὶ δικαιοσύνης, πειρᾶται ῥυθμίζειν τε καὶ ἄγειν ἐπὶ τὰ βελτίω. ἐχέτω δὴ καὶ οὗτος ἡμῖν ὁ δαίμων τέλος, ἵνα μὴ νῦν στολάς τε καὶ μορφὰς προστιθέντες αὐτῷ. καὶ τἆλλα τὰ προσήκοντα, πολὺν καὶ ἄπειρον εἰσφερώμεθα λόγων ὄχλον. εἴη δ' ἂν αὐτοῦ τὸ ἦθος, ὡς ἐν βραχεῖ περιλαβεῖν, φιλόνει-

κον,

κον, ἀνόητον, χαῦνον ἀλαζονείᾳ καὶ ζηλοτυπίᾳ, καὶ πᾶσι τοῖς τοιούτοις ἔγγιστα, χαλεποῖς καὶ ἀγρίοις πάθεσιν. ἅπαντα γὰρ ταῦτα φιλοτίμῳ τρόπῳ ψυχῆς, ἀκοινώνητα καὶ ἄγρια, καὶ χαλεπὰ, ἀναγκη πᾶσα συνέπεσθαι: ἔτι δὲ αὐτὸν πολὺ μᾶλλον ἄτλειν καὶ ἀνώμαλον ἔχειν τὴν διάνοιαν: ἅτε ἀνωμάλῳ δουλεύοντα καὶ προσέχοντα πράγματι, πυκνότερον καὶ συνεχέστερον, ἢ οὗτοι κυνηγέτας φασὶ χαίροντας καὶ λυπουμένους. ἐκείνοις γὰρ δὴ μάλιστα τοῦτο πλεῖστον καὶ συνεχέστατον συμβαίνειν λέγουσι φαινομένης τε καὶ ἀπολλυμένης τῆς ἄγρας. ὅταν μὲν γὰρ εὐδοκιμήσεις, ἔπαινοί τε συμβαίνωσιν αὐτοῖς, ἡ ψυχὴ τοῦ τοιούτου ἀνδρὸς αὔξει καὶ βλαστάνει, καὶ θαυμαστὸν ἴσχει μεγεθος, καθάπερ ἀθήνησί φασι, τὸ ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ μίᾳ βλαστῆσαι καὶ πλείονα γενέσθαι, ταχὺ δὲ αὖ πάλιν συστέλλεται, καὶ ταπεινοῦται, καὶ φθίνει, ψόγου τινὸς προσπεσόντος, ἢ δυσθυμίας: ἀπάτη δὲ καὶ τούτῳ παρέπεται τῷ δαίμονι ἁπασῶν πιθανωτάτη.

ὃ γὰρ

ὃ γὰρ ὡς ἡ τοῦ φιλαργύρου καὶ φιληδόνου, λαμπρὸν μὲν οὐδὲν λόγῳ, ἐδύνατο ὑποσχέσθαι, οὐδ' ὡς ἐπὶ σεμνὰ καὶ λαμπρὰ προήγαγον τοῦτο ἀπατωμένους ὑπ' αὐτῶν, ἀλλὰ μόνον τὸ τῶν ἀγαθῶν αὐτοῖς ὄνομα ἐπεφήμιζον καὶ προσετίθεσαν, οὕτως ἡ τοῦδε ἀπάτη, ἀλλ' ἐπαίκουσα καὶ γοητεύουσα, φησὶ φιλόκαλον αὐτὸν εἶναι, καὶ ὡς ἐπ' ἀρετήν τινα ἢ εὔκλειαν ἄγειν τὴν δόξαν. πάλιν οὖν ἐνθάδε κινδυνεύσει τὸ δεύτερον, εἰς τὸν αὐτὸν πεσεῖν μῦθον τοῦ Ἰξίονος. καὶ γὰρ ἐκεῖνον φασὶν, ἐπιθυμήσαντα τῶν ἥρας μακαρίων γάμων, νεφέλῃ τινὶ συγγενόμενον σκοτεινῇ καὶ ἀχλυώδει, ἄχρηστα καὶ ἀλλόκοτα γεννῆσαι τέκνα, τὸ τῶν κενταύρων γένος ποικίλον καὶ συμπεφορημένον. ὁ γὰρ εὐκλείας ἔρωτι διαμαρτὼν, ἔπειτα δόξης ἐπιθυμίᾳ συνὼν, τῷ ὄντι νεφέλῃ λέληθεν ἀντὶ τῆς θείας καὶ σεμνῆς ὁμιλίας συνὼν. ἐκ δὲ τῶν τοιούτων συνουσιῶν ἢ γάμων, ὠφέλιμον μὲν ἢ χρήσιμον οὐδὲν ἂν γένοιτο: θαυμαστὰ δὲ καὶ ἄλογα, προσεοικότα

κότα τοῖς κενταύροις, δημαγωγῶν τινῶν πολιτεύματα, καὶ ξυγγράμματα σοφιστῶν. ξεναγοὶ γὰρ καὶ σοφισταὶ καὶ δημαγωγοί. λέγω δὲ Διακρίνων στρατηγούς τε καὶ σοφιστὰς, καὶ πολιτικοὺς ἄνδρας ἀπὸ τῶν νῦν εἰρημένων. οὗτοι πάντες ἐκείνῳ τῷ δαίμονι προσνέμεσθαι ἄξιοι, καὶ τῆς ἐκείνου μερίδος τε καὶ ἑταιρείας ἀριθμεῖσθαι.

Καὶ δὴ νῦν μὲν ἐπεξῆλθον τοῦ ὑφ' ἑνὸς ἑκάστου τῶν εἰρημένων δαιμόνων ἐλαυνομένους: πολλάκις δὲ, καὶ δύο τὸν αὐτὸν, ἢ πάντες εἰλήχασι, τἀναντία ἀλλήλοις πράττοντες, καὶ ἀπειλοῦντες, εἰ μὴ πείθοιτο, μεγάλαις τισὶ περιβάλειν ζημίαις: ὁ μὲν φιλήδονος, ἀναλίσκειν εἰς τὰς ἡδονὰς κελεύων, καὶ μή τε χρυσοῦ μήτε ἀργύρου, μήτε ἄλλου κτήματος φείδεσθαι μηδενὸς: ὅδ' αὖ φιλοχρήματος καὶ μικρολόγος, οὐκ ἐῶν, ἀλλὰ κατέχων τε καὶ ἀπειλῶν, εἰ πείσεται ἐκείνῳ, λιμῷ τε καὶ δίψῃ, καὶ ἁπάσῃ πενίᾳ τε καὶ ἀπορίᾳ διολλύειν αὐτὸν: πάλιν δὲ ὁ μὲν φιλόδοξος

Συμ-

συμβουλεύει καὶ παρακαλεῖ προΐεσθαι τὰ ὄντα τιμῆς ἕνεκα: ὁ δὲ, καὶ πρὸς τοῦτον ἀπομάχεται καὶ ἀντιβαίνει: καὶ μὴν ὅγε τῆς ἡδονῆς φίλος, καὶ ὁ τῆς δόξης, οὔποτε δύνανται συνᾶσαι, οὐδὲ τὸ αὐτὸ εἰπεῖν. ὁ μὲν γὰρ καταφρονεῖ τῆς δόξης καὶ λῆρον ἡγεῖται, καὶ τὸ τοῦ Σαρδαναπάλου προφέρει πολλάκις ἐλεγεῖον: Τόσσ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἐρώτων Τερπν' ἔπαθον: τὰ δὲ λοιπὰ καὶ ὄλβια πάντα λέλειπται: καὶ μάλιστα τὸν θάνατον ἀεὶ πρὸ ὀφθαλμῶν δείκνυσιν, ἐξ οὗ οὐδενὸς ἔτι τῶν ἡδέων δυνησόμενος μετασχεῖν: ὁ δὲ φιλόδοξος ἄγει τε καὶ ἀφέλκει τῶν ἡδονῶν,, τά τε ὀνείδη καὶ τὰς λοιδορίας ἐπανατεινόμενος. οὐκ ἔχων οὖν, ὃ ποιήσει, καὶ ὅποι τράπηται, καὶ καταδύσηται, ἀποδιδράσκει πολλάκις εἰς τὸ σκότος, καὶ πειρᾶται λανθάνειν τῷ ἑτέρῳ χαρίζεσθαι καὶ ὑπηρετεῖν: ὁ δὲ, ἀποκαλύπτει καὶ εἰς τὸ μέσον αὐτὸν ἕλκει. οὕτω δὴ ψυχὴν διαφορουμένην τε καὶ διασπωμένην, ἀεί ποτε ἐν μάχῃ καὶ στάσει διηνεκεῖ πρὸς αὐτὴν οὖσαν,

ὦσαν, ἀνάγκη πρὸς πᾶσαν ἀφικνεῖσθαι δυστυχίαν. ὥσπερ γὰρ τὰ νοσήματα, ἀλλήλοις ἐπιπλεκόμενα, τἀναντία δοκοῦντα πολλάκις χαλεπὴν καὶ ἄπορον ποιεῖ τὴν ἴασιν, τὸν αὐτὸν, οἶμαι, τρόπον ἀνάγκη γίνεσθαι καὶ τῶν τῆς ψυχῆς συμμιγνυμένων τε καὶ συμπλεκομένων εἰς τὸ αὐτὸ παθῶν. ἀλλὰ δὴ μεταβαλλόμενοι καθαράν τε καὶ κρείττω τῆς πρότερον ἁρμονίας, τὸν ἀγαθὸν καὶ σώφρονα ὑμνῶμεν δαίμονα καὶ θεὸν, ὅι ποτε ἐκείνου τυχεῖν ἐπέκλωσαν ἀγαθῇ μοίρᾳ, παιδείας ὑγιοῦς καὶ λόγου μεταλαβοῦσιν: καὶ δὴ πεπρωμένον αὐτοῖς ἐκ θεῶν ἐγένετο.

ΛΙΒΥΚΟΣ ΜΥΘΟΣ.

Μῦθον λιβυκὸν ἐκπονεῖν, καὶ περὶ τὰ τοιαῦτα κατατρίβειν τὴν περὶ λόγους φιλοπονίαν, οὐκ εὐτυχὲς μὲν: οὐ γὰρ οὐ τῶν πρὸς ζῆλον τοῖς ἐπιεικεστάτοις ἀνθρώπων ἀπονευόντων: ἀλλ' ὅμως οὐκ ἀφεκτέον ὀλιγωρίᾳ

τῆς περὶ τὰ τοιαῦτα ἀδολεσχίας. τάχα γὰρ ἄν ποτε καὶ ἡμῖν χρείαν οὐ φαύλην παράσχοι ἑλκόμενά πῃ πρὸς τὸ δέον, καὶ παραβαλλόμενα τοῖς οὖσι καὶ ἀληθέσιν. ἡ δὲ τοιαύτη δύναμις καὶ ἐπιχείρησις, ὁμοία δοκεῖ τῇ τῶν γεωργῶν ἐμπειρίᾳ περὶ τὰ φυτὰ, ἐάν περ ἱκανῶς γίγνηται. ἐκεῖνοι γὰρ ἐνίοτε τοῖς ἀκάρποις καὶ ἀγρίοις ἐνθέντες καὶ ἐμφυτεύσαντες τὰ ἥμερα καὶ καρποφόρα, χρήσιμον ἀντὶ ἀχρήστου, καὶ ὠφέλιμον ἀντὶ ἀνωφελοῦς ἀπέδειξαν τὸ φυτὸν. οὕτω δὴ καὶ τοῖς ἀνωφελέσι μυθεύμασι, λόγος ἐμβληθεὶς χρήσιμος, καὶ συμφέρων οὐδὲ ἐκεῖνα εἴασε μάτην λελεγμένα. τυχὸν δὲ καὶ οἱ πρῶτοι συντιθέντες αὐτούς, πρός τι τοιοῦτον συνέθεσαν, αἰνιττόμενοι καὶ μεταφέροντες, τοῖς δυναμένοις ὀρθῶς ὑπολαμβάνειν. τόδε μὲν δὴ προοίμιον, ὡς ἔφη τὶς, τοῦ νόμου. τὸ λοιπὸν δ' ἂν αὐτὸν εἴη, τὸν νόμον, ἢ τὸν μῦθον λέγειν τε καὶ ἄδειν, ὁποίῳ μάλιστα ἀφομοιοῦμεν εἰκάσματι τὰς ἐπιθυμίας. λέγεται γὰρ πάλαι ποτὲ θηρίων εἶναι τὶ γένος, χαλεπὸν καὶ ἄγριον

γριον, πολεῖσον καὶ μάλιστα γινόμενον ἐν τοῖς ἀοικήτοις τῆς Λιβύης: ἥδε δὲ ἡ χώρα καὶ νῦν ἔτι δοκεῖ παντοδαπὰς φέρειν ζώων φύσεις, ἑρπετῶν τε καὶ ἄλλων θηρίων: ἐν οἷς εἶναι καὶ τοῦτο τὸ ἡμίθεον, ἱστορεῖ δὲ νῦν ὁ λόγος, ζωώδετον τὴν τοῦ σώματος ἰδέαν, σχεδὸν ἐκ τῶν πολεῖσον διαφερόντων παντελῶς ἄτοπον. πλανᾶται δ' αὐτὸ μέχρι τῆσδε τῆς θαλάττης ἐπὶ τὴν σύρτιν, τροφῆς ἕνεκα. θηρᾶν μὲν δὴ καὶ τἄλλα θηρία, τάς τε λέοντας, καὶ παρδάλεις, ὡς ἐκεῖνα τάς τε ἐλάφους, καὶ οὖν ἀγρίους ὄνους, καὶ τὰ πρόβατα: μάλιστα δὲ ἥδεται τῇ τῶν ἀνθρώπων ἄγρᾳ: ὧν δὴ καὶ ἕνεκα, ἐγγὺς ἀφικνεῖται τῶν οἰκουμένων μέχρι τῆς σύρτεως. ἔστι δὲ ἡ σύρτις, κόλπος θαλάττης, εἰσέχων ἐπὶ πολὺ τῆς χώρας, καὶ τριῶν ἡμερῶν φασὶ πολοῦς ἀκωλύτως πλέουσι: τοῖς δὲ κατενεχθεῖσιν οὐκ εἶναι τὸ ἔκπλοιν δυνατόν. βραχέα δὲ καὶ διθάλαττα, καὶ τενίαι μακραὶ μέχρι πολλοῦ διήκουσαι παντάπασιν ἄπορον καὶ δύσκολον παρέχουσι τὸ πέλαγος. ὁ δὲ ἐστὶ

κατ' ἐκεῖνα τὸ τῆς θαλάττης ἀγγεῖον καθαρὸν: κοῖλος δὲ καὶ ψαμμώδης ὁ τόπος ὢν ὑποδέχεται τὸ πέλαγος, οὐδὲν ἔχων ἕρπετὸν, ὄφιν, οἶμαι, θῆνές τε μεγάλαι, καὶ χώματα ἐν αὐτῷ γίγνονται τῆς ψάμμου, καθάπερ ἐν τῇ χώρᾳ συμβαίνει τὸ τοιοῦτον ἀπὸ πνευμάτων. ἐκεῖ δὲ μᾶλλον ἀπὸ τοῦ κλύδωνος. ἔστι δὲ καὶ τὸ κύκλῳ τοιοῦτον χεδὸν, ἐρημία καὶ θῆνες. ἀλλὰ γὰρ δὴ τούσδε ναυηγοὺς ἀπὸ τῆς θαλάττης ἐπανιόντας, καὶ ἕλινας τῶν λύκων κατ' ἀνάγκην διεξιόντας ἢ πλανωμένους ἐπιφαινόμενα ἥρπαζε τὰ θηρία. ἡ δὲ φύσις αὐτῶν ἐς σώματος καὶ ἡ ἰδέα τοιάδε. τὸ μὲν πρόσωπον γυναικεῖον εὐειδὲς γυναικὸς: μαστοὶ δὲ καὶ στῆθη πολύ τι κάλλιστα, καὶ τράχηλος, ὁποῖα οὔτε παρθένου θνητῆς γένοιτ' ἄν, οὔτε νύμφης ἀκμαζούσης: οὔτε πλάττων ἢ γράφων οὐδεὶς δυνήσεται ἀπεικάσαι: τό, τε χρῶμα λαμπρότατον, καὶ ἀπὸ τῶν ὀμμάτων φιλοφροσύνη καὶ ἵμερος ταῖς ψυχαῖς ἐνέπιπτεν, ὁπότε προσίδοι τις: τὸ δὲ λοιπὸν σῶμα, σκλη-

σκληρόντε καὶ ἄῤῥηκτον φολίσι, καὶ τὸ κάτω πᾶν ὄφις: ὑστάτη δὲ κεφαλὴ τοῦ ὄφεως μάλα ἀναιδὴς, τὰ δὲ θηρία αὐτὰ, πτερωτὰ μὲν οὐ λέγεται γενέσθαι καθάπερ αἱ σφίγγες: οὐδὲ διαλέγεσθαι, ὡς ἐκεῖναι, οὐδὲ ἄλλην ἱέναι φωνὴν: ἀλλὰ συρίττειν μόνον, ὥσπερ οἱ δράκοντες, ὀξύτατα: τῶν δὲ πεζῶν ἁπάντων τάχιστα, ὡς μηδένα ἄν ποτε ἐκφυγεῖν αὐτὰ: καὶ τῶν μὲν ἄλλων, ἀλκῇ κρατεῖν, ἀνθρώπων δὲ ἀπάτῃ, παραφαίνοντα τὰ στήθη, καὶ οὗτο μαστοὺς, καὶ ἅμα προσβλέποντα: καταγοητεύειν δὲ, καὶ ἔρωτα ἐμβάλλειν δεινὸν τῆς ὁμιλίας: καὶ οὗτο προσιέναι, καθάπερ γυναῖξι, τὰ δὲ μένειν ἀτρεμοῦντα, καὶ κάτω πολλάκις βλέποντα, μιμούμενα γυναῖκα κοσμίαν: γενόμενον δὲ ἐγγὺς συναρπάζειν. ἔχειν γὰρ δὲ καὶ χεῖρας θηριώδεις, ἃς ἀποκρύπτειν τέως. ὁ μὲν οὖν ὄφις εὐθὺς δακὼν, ἀπέκτεινεν ἀπὸ τοῦ ἰοῦ: τὸ δὲ νεκρὸν κατεσθίουσιν, ἅμα τὲ ὄφις καὶ τὸ ἄλλο θηρίον. ὁ δὲ μὲν δὴ ὁ μῦθος, οὐ παιδίῳ πλασθεὶς, ὡς ἂν ἧττον ᾖ θρασὺς καὶ ἀκόλα-

ςος, ἄλλα τοῖς μείζουσι καὶ τελεωτέραν ἀφροσυνὴν ἔχουσιν, ὑφ' ἡμῶν δεῦρο μετανεχθεὶς, τάχ' ἂν ἱκανῶς ἐπιδεῖξαι δύναιτο, ὁποῖον ἐςὶ τὸ τῶν ἐπιθυμιῶν γένος: ὅτι ἄλογοι οὖσαι καὶ θηριώδεις: ἔπειτα ἡδονήν τινα παραδεικνύουσαι, προσαγόμεναι τοὺς ἀνοήτους ἀπάτῃ καὶ γοητείᾳ, διαφθείρουσιν οἴκτιςα καὶ ἐλεεινότατα, καὶ χρὴ δεδιέναι πρὸ ὀφθαλμῶν ἔχοντας, ὥσπερ αἱ τίτθαι τοὺς παῖδας, ὁπόταν παρὰ καιρὸν τροφῆς ἢ παιδιᾶς, ἢ ἄλλου τινὸς ὀρέγωνται: καὶ ἡμεῖς ὁπόταν ἢ τροφῆς, ἢ χρημάτων, ἢ ἀφροδισίων, ἢ δόξης, ἢ ἄλλης τινὸς ἡδονῆς ἐρῶμεν, μή ποτε προσιόντες ταῖς πανούργοις ταύταις, συναρπασθῶμεν ὑπ' αὐτῶν, ἐπ' ὀλέθρῳ καὶ διαφθορᾷ πασῶν αἰσχίςῃ. καὶ γάρ τοι καὶ λοιπὸν τοῦ μύθου, ταύτῃ τρέπειν οὐ χαλεπὸν ἀνδρὶ ἀδολέσχῳ, καὶ πλείω σχεδὸν ἢ δεῖ σχολὴν ἄγοντι. προστιθέασι γὰρ, ὡς δὴ βασιλεύς τις τῶν λιβύων, ἐπεχείρησεν ἀνελεῖν τόδε τὸ φύλον τῶν θηρίων, ἀγανακτῶν τῇ διαφθορᾷ τοῦ λαοῦ. Καὶ γὰρ

τυγχά-

τυγχάνειν αὐτῶν πολλὰς (πόλεις) αὐτοῦ κατῳκισμένας, τὸν ὑπὲρ τὴν σύρτιν δρυμὸν καταλαβούσας. πυκνόντε καὶ ἄγριον συναγαγόντος δὴ πλῆθος στρατοῦ πολὺ (εἶναι γὰρ οὐκ ἀφανῆ τοῖς τε σύρμασι τῶν ὄφεων καὶ ὀσμῆς αὐτόθεν δεινῆς φερομένης) οὕτως περιοχόντα πανταχόθεν, πῦρ ἐμβάλλειν. καὶ τὰς μὲν ἀπολειφθείσας, ἀπολέσθαι μετὰ τῶν σκύμνων, οὗτοι δὲ λίβυας, φεύγειν κατὰ τάχος ἀπὸ τοῦ χωρίου, μήτε νύκτα, μήτε ἡμέραν ἀναπαυομένους, μέχρι νομίζαντες πολὺ προειληφέναι, * κατέζαξαν παρὰ ποταμόν τινα. τῶν δὲ θηρίων ὁπόσα ἀπὴν κατὰ θηρὰν, ἐπειδὴ τάχιστα ᾔσθοντο ἀπολωλότας οὗτοι φωλεοὺς καταδιώξαντα τὴν στρατιὰν πρὸς τὸν ποταμὸν, οὗτοι μὲν ὑπνῷ καταλαβόντας, οὗτοι δὲ ἄλλους ἀπειρηκότας ὑπὸ τοῦ κόπου, διέφθειραν πανσυδὶ. τότε μὲν οὖν ἀτελὲς αὐτῷ γενέσθαι τὸ ἔργον τῆς διαφθορᾶς τοῦ γένους: ὕστερον δὲ τὸν ἡρακλέα τὴν σύμπασαν γῆν καθαίροντα ἀπό τε τῶν θηρίων, καὶ τῶν τυράν-

νων, καὶ εἰσε ἀφικέσθαι, καὶ τόν τε τόπον ἐμπρῆσαι, καὶ τὰ φάσγανα ἐκ τοῦ πυρὸς, τὰ μὲν τῶν ῥοπάλων παίοντα καθικνεῖσθαι, ὁπόσα ὁμόσε ἦει, τὰ δὲ ἀποδιδράσκοντα τοῖς βέλεσι. τυχὸν οὖν ἦν ὁ μῦθος αἰνίττεται λέγων, τὸ πολλῶν μὲν εἵνεκα τις ἐπεχείρησε καθαίρειν τὴν αὐτοῦ ψυχὴν, ὥσπερ ἄβατον καὶ μετόν τινα θηρίων χαλεπῶν τόπον: ἐξελὼν δὲ καὶ ἀπολέσας τὸ τῶν ἐπιθυμιῶν, εἶτ' ἐλπίσας ἀπηλλάχθαι καὶ διαπεφυγέναι, οὐκ ἰσχυρῶς ἀποδράσας, ὀλίγον ὕστερον ὑπὸ τῶν λειπομένων ἐπιθυμιῶν ἀπολέσθαι, καὶ διαφθαρῆναι. ἡρακλέα δὲ τὸν διὸς καὶ ἀλκμήνης ἐπέξελθεῖν καὶ ἀποφλῶσαι καθαρὸν καὶ ἥμερον τὴν αὐτοῦ διάνοιαν: καὶ τοῦτο αὐτὸ βούλεσθαι δηλοῦν, τῆς γῆς τὴν ἡμέρωσιν. βούλεσθε ἓν βραχύ τι τῶν νεοτέρων λόγων ἐπιχαρισώμεθα τοῦ μυθολογήματος. οὕτω γὰρ πάνυ πέθονται αὐτῶν, καὶ νομίζουσιν ἀληθὲς, ὥς τε ὕστερόν ποτε φασὶν ἐπιφανῆναι τοῦ ἥρωος τούτου, βαδίζουσιν εἰς ἄμμωνος ἕλλησι θεωροῖς μὴ πολλῆς

λῆς δυνάμεως παραπεμπούσης, ἱππέων καὶ τοξοτῶν. δόξαι γὰρ αὐτοῖς ἐπὶ θινός τινος, κατακεῖσθαι γυναῖκα, διφθέραν ἐπιβεβλημένην ἄνωθεν, ὥσπερ αἱ λίβυσσαι: ἐπιδεικνύειν δὲ τὰ στήθη καὶ σὺν μαστοὺς, καὶ τὸν τράχηλον ἀνακλῶσαν: κἆτα ὑπολαβεῖν ἐκ τινὸς κώμης τῶν ἑταιρουσῶν τινὰ γυναικῶν: ἐνταῦθα ἰέναι πρὸς τὸν ὄχλον. δυὸ δέ τινας νεανίσκους, ἐκπλαγέντας τὸ εἶδος, ἰέναι πρὸς αὐτὴν τὸν ἕτερον φθάνοντα: τὸ δὲ θηρίον ὡς ἔλαβεν αὐτὸν, κατασύραν εἰς κοῖλόν τι τῆς ψάμμου, κατεσθίειν: καὶ τὸν ἕτερον νεανίσκον ὑπερβαλόντα θεάσασθαι καὶ ἀνακρατεῖν: καὶ οὕτως ἐπιβοηθῆσαι τὸ λοιπὸν πλῆθος: τὸ δὲ θηρίον ἐφορμήσαι τῷ νεανίσκῳ, προϊσχόμενον τὸν ὄφιν, καὶ ἀποκτεῖναν, οἴχεσθαι μετὰ συριγμοῦ.

τὸν δὲ νεκρὸν εὑρεθῆναι σαπρὸν δὴ, καὶ μυδῶντα: καὶ τοὺς λίβυας σὺν ἡγεμόνας τῆς ὁδοῦ, οὐκ ἐᾶν ἅπτεσθαι τοῦ σώματος, ὡς ἅπαντας ἀπολουμένους.

IN animo habebam quorundam huius aureoli libelli locorum pleniorem explicationem subijcere: quosdam etiam emendare, si possem: de ceteris coniecturam meam ostendere, donec librum manuscriptum nancisceremur, cuius ope niteremur. Nunc in hisce omnibus ero parcior: sed quando librum familiaribus meis explicabo, experiar quid vbi auxilij ferre possim. De Dione autem hoc nostro hæc sunt apud Suidam. Δίων ὁ πασικράτους, προυσαεὺς, σοφιστὴς, καὶ φιλόσοφος: ὃν Χρυσόστομον ἐκάλεσαν. ἀντεποιεῖτο δὲ σεμνότητος, ὡς καὶ λεοντῆν φοροῦντα προϊέναι. ἦν δὲ λεπτὸς τὸ σῶμα. καὶ διέτριψε τὸ πλεῖστον παρὰ Τραϊανῷ καίσαρι, ὡς καὶ συγκαθέτρωσε ἐν τῷ βασιλικῷ ὀχήματι. Themistius item oratione XII. perhonorificam Dionis mentionem facit, vbi Iouiano philosophiam in regiam reuocanti gratias agit his verbis. ἐμοὶ δὲ, inquit, ὦ βασιλεῦ καὶ μᾶλλον ἔτι φροντιστέον ἐστι, καὶ μὴ λίαν ἐνδεὲς ἀντεσενεγκεῖν σοι τὸ χαριστήριον, ὅτι φιλοσοφίαν οὐ πάνυ παρὰ τοῖς πολλῖος εὐπραγοῦσαν κατὰ τὸν παρόντα χρόνον, ἐπανάγεις αὖθις εἰς τὰ βασίλεια, καὶ παρίστασαι σὺν εὐδοκιμωτέρῳ σχήματι: καὶ ποιεῖς οὐχ ἧττον ἔντιμον τὴν τῶν λόγων ἡγεμονίαν τῆς τῶν στρατοπέδων ἀρχῆς. οὕτω καὶ οἱ πατέρες τῆς σῆς βασιλείας εὐ-

προ-

προγόνους ἑαυτῆς τῆς τύχης ποιῆσον, τὸν Ἀρειον σκηνον ὁ Σεβαστὸς, ὁ Τιβέριος τὸν Θρασύλον, Τραϊανὸς μέγας Δίωνα τὸν χρυσοῦν τὴν γλῶτταν, τὸν Ἐπίκτητον τῶ δύο Αντωνίνω. Ex vtroq; licet conijcere, itemq; ex Philostrato, neq; mihi dubium est: has orationes missas fuisse ad Traianum Imperatorem, cui familiaris Dion fuerit & carus, & tantopere carus, vt eum in curru regio secum duxerit, vt ex his verbis Suidae, quae posuimus apparet, & his quoq; Philostrati, quae subijciam. Τραϊανὸς γοῦν αὐτοκράτωρ ἀναθέμενος αὐτὸ ἀπὸ τῆς ῥώμης ἐς τὸ χρυσοῦν ἅμαξαν, ἐφ ἧς οἱ βασιλεῖς τὰς ἐκ τῶν πολέμων πομπὰς ποιοῦσιν, ἔλεγε, θαμὰ διατρεφόμενος πρὸς τὸν Δίωνα, τὰ μὲν λέγεις οὐκ οἶδα, φιλῶ δέ σε ὡς ἐμαυτόν.

Pag. 7. ὄρθιον ἀθλιᾶς νόμον. Modus orthius ob difficultatem & excellentiam Mineruae videtur attributus. Ariona quoq; orthio modo cecinisse antè, quàm se è prora in mare deijceret, refert è veteri fabula Herodotus. Hesiodo est ὄρθιος οἶμος, hoc est, semita ardua ad virtutem. Sed musici nos docebunt, è quibus modis, quomodo hic modus orthius constetur & perficiatur.

Pag. 8. ὁδὲ Μαρσύας αὐτὸς ἦ Ολυμπος. De Marsya multa sunt in fabulis poëtarum. Olym-

Olympus discipulus fuisse perhibetur Marsyæ: cuius & Aristophanes meminit, initio ἱππέων. δεῦρό νυν πρόσελθ', ἵνα Ξυναυλίαν κλαύσωμεν Ὀλύμπου νόμον.

Pag. 9. Οὐδ' Ἀσκληπιάδαις. Initium versus suo arbitratu mutauit Dion. Theognidis autem versus est: εἰ δ' Ἀσκληπιάδαις τοῦτόγ' ἔδωκε θεὸς.

Pag. 12. Ἀλλ' οἵτε ὄρνιθες πετόμενοι. Margini editionis Venetæ hæc adscripta sunt. ὁποῖος ἱστορεῖται περὶ τῶν λιβύων βασιλέων, ἀψεφᾶ διὰ τῶν ψιττακῶν μεμηχανῆσθαι ἱπταμένων καὶ κελαδούντων: ἀψεφᾶς θεός ἐστιν.

Pag. 15. καὶ τοίνυν εὐεργετῶν. Beneficium dando accepit, qui digno dedit. Hoc confirmat & Phalaris, qui fortè verum beneficium neq; cuiquam dederat, neque dare didicerat. Sic tamen hic ad Amphinomum scribit. οὐ διδόναι χάριτας οἴομαι, δωρούμενος ἀγαθοῖς ἀνδράσιν, ἀλλὰ πολὺ μᾶλλον παρ' αὐτῶν λαμβάνειν. Ego, cum bonos viros muneribus afficio, potius ab ipsis beneficium accipere mihi videor, quàm in eos conferre. Minus igitur mirum, si εὐεργέτης plus voluptatis è beneficio capit, quàm qui eo ornatur: quod affirmat sibi quoq; euenire Cyrus, princeps optimus, Cyri pædiæ libro IV. Cum enim Medum quendam eximi-

eximium musicæ cultorem duarum musicarum mulierum alteram velle intelligeret; eam ei dono dedit, & subiecit insuper: maiorem habere se illi gratiam, qui munus petierit, quàm debeat, cui dederit. Tantopere, inquit, bene de vobis mereri sitio. Sed hæc Græcè venustißimè. οὕτως ἐγὼ ὑμῖν διψῶ χαρίζεσθαι. Quod autem valdè cupimus, eo mirificè delectamur

Pag. 20. Hæc ita expreßit in or. de Homero. περὶ δὲ τῶν βασιλέων ἐν βραχεῖ οἵους φησὶ δεῖ εἶναι. ὃν γὰρ ἂν ἐπαινῇ τῶν βασιλέων, δι' μῆτιν ἀτάλαντον φησὶν εἶναι: καὶ διοτρεφέας ἅπαντας τοὺς ἀγαθοὺς βασιλεῖς: καὶ τὴν μίνω μεγίστην ἐπὶ δικαιοσύνην δόξαν ἔχοντα παρὰ τοῖς ἕλλησι, τοῦ διὸς ὁμιλητήν τε, καὶ μαθητὴν εἶναι φησὶν: ὡς πρῶτον δὴ καὶ μέγιστον ἁπάντων ἐκεῖνον βασιλέα, καὶ μόνον αὐτὸν ἐπιστάμενον, καὶ παραδιδόντα τὴν βασιλικὴν τέχνην, καὶ τοὺς ἀγαθοὺς βασιλεῖς: δέον πρὸς ἐκεῖνον βλέποντας, κατευθύνειν τὴν ἀρχὴν, ἀφομοιοῦντας, ὡς δυνατόν ἐστιν ἀνθρώπους θεῷ, τὸν αὐτῶν τρόπον: τὸ δὲ τοῦ διὸς ἦθος, καὶ τὴν βασιλείαν, ὁποία τὶς ἦν, ἐν πολλοῖς μὲν ἄλλοις ποιεῖ φανερὰν. ὡς δ' ἐν βραχεῖ ἐπιλαβόντα εἰπεῖν, τὴν δυ-

δύναμιν αὐτοῦ, καὶ τὴν διάνοιαν δηλοῖ πολλάκις, ἀείποτε αὐτὸ οὕτως ὀνομάζων: πατὴρ ἀνδρῶν τε θεῶν τε: ὡς δέον τὴν τῶν βασιλέων ἐπιμέλειαν, πατρικὴν καὶ κηδεμονικὴν εἶναι, μετ' εὐνοίας καὶ ὠφελείας: ὡς μηδέποτε ἄλλως προσῆκον ἀνθρώπων προΐστασθαί τε καὶ ἄρχειν, ἢ ἀγαπῶντα καὶ προνοοῦντα, ὁπότε ὁ ζεὺς οὐχ ὑπερορᾷ, πατὴρ τῶν ἀνθρώπων καλεῖσθαι.

Pag 23. Locus Homeri est Odysseæ T.

Pag. 24. Locus est Homeri Odysseæ P.

Pag. 43. Locus Homeri Iliados Λ.

Pag. 46. δεινῷ ῥήτορι καὶ γόητι. Non dubito, quin ad Æschinis conuicium hic scriptor respexerit. Sic enim ille de hoste suo Demosthene in oratione aduersus Ctesiphontem: Ἀλλ' οἶμαι, οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος, οὔτε ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν, τοιοῦτος μάγος καὶ γόης ἐγένετο.

P. 51. Vbi fit mentio Tyrtæi, hæc sunt in ora Venetæ editionis. οὗτος ὁ Τυρταῖος Ἀθηναῖος ἦν: ὁρῶν δὲ Λακεδαιμονίους καὶ τὸν πόλεμον μαλακῶς διακειμένους, ἐπιδημήσας αὐτοῖς καὶ δυνάμεως ποιητικῆς εὐμοιρῶν ἐποίησεν αὐτοῖς μέλη καὶ τὸ ἐνυάλιον παροξυντικὰ: ἃ καὶ προσέταξε καταρχομένους πολέμου καὶ τῶν στρατοπέδων συῤῥασσόντων, ἀλλήλοις ᾄδειν: ὃ

καὶ

καὶ ποιοῦντες προθυμίας ἐνεπίμπλαντο, καὶ καλῶς κατὰ τὸν πόλεμον διετίθεσαν.

Ibidem. τῇ ὅγε. Homeri locus est, Iliados I.

P. 53. Locus Homeri Iliados X.

P. 54. Locus Homeri Odysseæ Δ.

Alter eiusdem, Λ. P.

P. 56. Locus Homeri Odysseæ P.

P. 57. Locus Homeri Iliados K.

P. 59. Locus Homeri Iliados B.

Pag. 60. Eiusdem ex eadem rapsodia.

Pag. 65. 66. ex eodem loco versus deprompti.

Rag. 75. Locus Homeri Odysseæ Ω.

P. 87. Locus Homeri Iliad. B. loquente Vlysse.

P. 119. ἐν τῷ Κρανείῳ. Locus Corinthi, vt & Lyceum: vtriusq; his verbis meminit Lucianus in quodam dialogo.

εὕροις δ' ἂν αὐτὸ (μενίππον δηλονότι) ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον, ἢ ἐν Λυκείῳ.

Pag. 135. καὶ τὴν μελιτῶν. repudiaui lectionem μεγίστων, & ἀνενδοιάστως μελιτῶν scripsi.

P. 153. Σφηττοῖ. In eo, opinor, δήμῳ. Nam populi Athenis erant Anaphlystius & Sphettius ab Anaphlysto & Sphetto, Trœzenis filijs, vt tradit in Corinthiacis Pausanias. Hæc ex multis paucissima lector boni consulat: cum auditoribus nostris longè plura communicabimus.

Mendæ typographicæ, quæ alicuius momenti nobis visæ sunt.

Lege pag. 24. vers. 4. pro σὸν, τὸν. v. ult. pro ἄρνας, ἄορας. p. 35. v. 13. pro ἀμάζων, ἀκμάζων. p. 37. v. 21. pro τὸν γὰρ ὃν, τοιγαροῦν. p. 40. v. 12. pro πρεπεῖν, πρεπειν. p. 45. v. 10. pro κυρίως, κυρίῳ. p. 67. v. 21. pro ἀθενέσι, ἀδενέσι. p. 133. v. 19. pro πάνων, πάντων. p. 134. v. 12. pro τῶι, γὲν. p. 137. v. 10. pro χρόνῳ, χρόνον. p. 160. v. 18. pro ἀποκαλύπτει, ἀποκαλύπτει.



Universitäts Bibliothek Rostock
http://purl.uni-rostock.de
/rosdok/ppn1758116536/phys_0184

ἢ σὺ οἴει ἄλλην τινὰ λέγ ... ν ὃ
Μόλου υἱὸν, καὶ ἐξαριθμο ... ρίστοις
τῶν Αχαιῶν, ἢ τὴν ἐν ... ητικὴν,
ἥπερ ἦν ἐπιχώριος ... ὀξεῖαν καὶ
ἐλαφρὰν κίνησιν ... κρίναι καὶ
φυλάξασθαι ῥᾳδ ... τούτοις γεμὴν
ξυνέπεται, μη ... τὸν βασιλέα
τοῖς ἄλλοις ὁ ... θεοὺς καλεῖν
ὅτως εὐχό ... ώνων ποιητὴς Ανα-
κρέων: ὦ ... ης ἔρως, καὶ νύμ-
φαι κ ... φυρέη τε Αφροδίτη
Συμπ ... έφεται ἢ ὑψηλῶν ὀρέων
κορ ... σε. σὺ δ' εὐμενὴς ἔλθ'
ἡ ... ης δ' εὐχωλῆς ἐπακούειν.
... αγαθὸς γένου Σύμβουλος. τὸν
... ὦ δ' οὐ νῦν σε δέχεσθαι. ἢ νὴ
... ικῶν σκολιῶντε καὶ εὐχὰς ἐπαί-
... λεῦσι πρεπούσας, ἀλλὰ δημόταις
... ρσιν ἀγαθοῖς καὶ Σφόδρα ἀνειμένοις.
... α καλὴ γενοίμαν ἐλεφαντία: καί με
... παῖδες φορέοιεν Διονύσιον ἐς χορὸν:
εἴθ' ἀ-

